δόξειν εἶναι, ἐπιδημοῦντες δὲ παρὰ τοῖς πολίταις
to-be-going-to-seem to-be living-at-home but among the citizens
τοῖς ἠδικημένοις πονηροὶ δόξειν καὶ ἀσεβεῖς εἶναι.
the wronged wicked to-be-going-to-seem and impious to-be
Ὁ γοῦν πάντων πονηρότατος Βάτραχος πλὴν τούτου, 45
the at-any-rate of-all most-wicked Batrachus except him
γενόμενος ἐπὶ τῶν τριάκοντα μηνυτὴς καὶ οὐσῶν
having-become in-the-time-of the Thirty informer and being
αὐτῷ συνθηκῶν καὶ ὅρκων καθάπερ τοῖς Ἐλευσινόθεν,
for-him covenants and oaths just-as for-the(-men) from-Eleusis
δείσας ὑμῶν οὓς ἠδίκησεν, ἐν ἑτέρᾳ πόλει ᾤκει. Ἀνδοκίδης
having-feared of-you whom he-wronged in another city lived Andocides
δὲ καὶ αὐτοὺς τοὺς θεοὺς ἀδικήσας περὶ ἐλάττονος αὐτοὺς
but even very the gods having-wronged of less them
ἔθετο, εἰσιὼν εἰς τὰ ἱερά, ἢ Βάτραχος τοὺς ἀνθρώπους.
made entering into the temples than Batrachus the men
ὅστις οὖν καὶ πονηρότερος καὶ ἀμαθέστερος Βατράχου
who-ever then both more-wicked and more-ignorant than-Batrachus
ἐστί, πάνυ δεῖ ἀγαπητῶς ὑφ' ὑμῶν αὐτὸν σωθῆναι.
is very must contentedly by you him to-be-saved

46 Φέρε δή, εἰς τί σκεψαμένους χρὴ ὑμᾶς Ἀνδοκίδου
come now to what having-considered must you Andocides
ἀποψηφίσασθαι; πότερον ὡς στρατιώτης ἀγαθός; ἀλλ᾽
to-acquit whether as soldier good but
οὐδεπώποτ᾽ ἐκ τῆς πόλεως ἐστρατεύσατο, οὔτε ἱππεὺς
never from the city he-served-on-campaign neither as-cavalryman
οὔτε ὁπλίτης, οὔτε τριήραρχος οὔτ᾽ ἐπιβάτης, οὔτε πρὸ
nor as-hoplite nor as-trierarch nor as-marine neither before
τῆς συμφορᾶς οὔτε μετὰ τὴν συμφοράν, πλεῖν ἢ
the disaster nor after the disaster more than
τετταράκοντα ἔτη γεγονώς.
forty years having-become

47 Καίτοι ἕτεροι φεύγοντες ἐν Ἑλλησπόντῳ συνετριηράρχουν
and-yet others being-exiles in (the)-Hellespont served-as-co-trierarchs
ὑμῖν. ἀναμνήσθητε δὲ καὶ αὐτοὶ ἐξ ὅσων κακῶν καὶ
with-you remember and also yourselves from how-many evils and
πολέμου ὑμᾶς αὐτοὺς περιεποιήσατε καὶ τὴν πόλιν, πολλὰ
war your- -selves you-preserved and the city many
μὲν τοῖς σώμασι πονήσαντες, πολλὰ δὲ ἀναλώσαντες
indeed in-the bodies having-toiled much and having-spent
χρήματα καὶ ἰδίᾳ καὶ δημοσίᾳ, πολλοὺς δὲ καὶ ἀγαθοὺς
money both privately and publicly many and also good
τῶν πολιτῶν καταθάψαντες διὰ τὸν γενόμενον πόλεμον.
of-the citizens having-buried because-of the having-happened war

48 Ἀνδοκίδης δὲ ἀπαθὴς τούτων τῶν κακῶν γενόμενος
Andocides but unaffected by-these the evils having-been
*** εἰς τὴν σωτηρίαν τῇ πατρίδι, ἀξιοῖ νυνὶ
(lacuna) for the safety for-the fatherland thinks-it-right now
μετέχειν τῆς πόλεως, ἀσεβῶν ἐν αὐτῇ. ἀλλὰ
to-share the city committing-impiety in it but
πλουτῶν γὰρ καὶ δυνάμενος τοῖς χρήμασι καὶ βασιλεῦσιν
being-rich for and being-powerful with-the money and with-kings

ἐξενωμένος καὶ τυράννοις — ἃ νυνὶ
having-been-made-a-guest-friend and with-tyrants which(-things) now
κομπάσει, ἐπιστάμενος τοὺς ὑμετέρους τρόπους —
he-will-boast knowing the your ways
ποίαν εἰσφορὰν *** τούτῳ ἀγαθὸν γένοιντο, καὶ 49
what-sort-of property-tax (lacuna) for-him good might-be and
ἐπιστάμενος ἐν πολλῷ σάλῳ καὶ κινδύνῳ τὴν πόλιν
knowing in great tossing and danger the city
γενομένην, ναυκληρῶν οὐκ ἐτόλμησεν ἐπαρθεὶς σῖτον
having-been being-a-shipowner not dared having-been-roused grain
εἰσάγων ὠφελῆσαι τὴν πατρίδα. ἀλλὰ μέτοικοι μὲν
importing to-help the fatherland but metics indeed
καὶ ξένοι ἕνεκα τῆς μετοικίας ὠφέλουν τὴν πόλιν
and foreigners for-the-sake-of the residence helped the city
εἰσάγοντες· σὺ δὲ τί καὶ ἀγαθὸν ποιήσας, ὦ Ἀνδοκίδη,
importing you and what even good having-done O Andocides
ποῖα ἁμαρτήματα ἀνακαλεσάμενος, ποῖα τροφεῖα
what-sort-of errors having-retrieved what-sort-of nurture-dues
ἀνταποδούς ***
having-repaid (lacuna)
Ἀθηναῖοι, μνήσθητε τὰ πεποιημένα Ἀνδοκίδῃ, ἐνθυμήθητε 50
Athenians remember the(-things) done by-Andocides consider
δὲ καὶ τῆς ἑορτῆς, δι᾽ ἣν ὑπὸ τῶν πολλῶν
and also the festival on-account-of which by the many
προὐτιμήθητε. ἀλλ᾽ ἐστὲ γὰρ ὑπὸ τῶν τούτου
you-were-honored-above(-them) but you-are for by the his
ἁμαρτημάτων ἤδη καταπλῆγες διὰ τὸ πολλάκις ἰδεῖν
errors already dumbfounded because-of the often to-see
καὶ ἀκοῦσαι, ὥστε οὐδὲ τὰ δεινὰ ἔτι δεινὰ δοκεῖ
and to-hear so-that not-even the terrible(-things) any-longer terrible seem

ὑμῖν εἶναι. ἀλλὰ προσέχετε τὸν νοῦν, δοκείτω δ' ὑμῖν ἡ
to-you to-be but pay-heed the mind let-it-seem and to-you the
γνώμη ὁρᾶν ἃ οὗτος ἐποίει, καὶ διαγνώσεσθε ἄμεινον.
mind to-see what(-things) this-man did and you-will-decide better

51 Οὗτος γὰρ ἐνδὺς στολήν, μιμούμενος τὰ ἱερὰ
this-man for having-put-on a-robe imitating the sacred(-rites)
ἐπεδείκνυε τοῖς ἀμυήτοις καὶ εἶπε τῇ φωνῇ τὰ ἀπόρρητα,
displayed(-them) to-the uninitiated and spoke with-the voice the secret(-things)
τῶν δὲ θεῶν, οὓς ἡμεῖς νομίζομεν καὶ θεραπεύοντες καὶ
of-the and gods whom we believe-in and serving and
ἁγνεύοντες θύομεν καὶ προσευχόμεθα, τούτους περιέκοψε.
purifying-ourselves sacrifice-to and pray-to these he-mutilated
καὶ ἐπὶ τούτοις ἱέρειαι καὶ ἱερεῖς στάντες κατηράσαντο
and over these priestesses and priests standing cursed(-him)
πρὸς ἑσπέραν καὶ φοινικίδας ἀνέσεισαν, κατὰ τὸ
toward west and purple-robes shook according-to the
νόμιμον τὸ παλαιὸν καὶ ἀρχαῖον.
custom the ancient and old

52 Ὡμολόγησε δὲ οὗτος ποιῆσαι. ἔτι δὲ παρελθὼν τὸν
admitted and this-man to-have-done(-it) further and having-transgressed the
νόμον ὃν ὑμεῖς ἔθεσθε, εἴργεσθαι τῶν ἱερῶν αὐτὸν
law which you laid-down to-be-excluded from-the sacred(-things) him
ὡς ἀλιτήριον ὄντα, ταῦτα πάντα βιασάμενος εἰσελήλυθεν
as accursed being these-things all having-forced has-entered
ἡμῶν εἰς τὴν πόλιν, καὶ ἔθυσεν ἐπὶ τῶν βωμῶν ὧν οὐκ
our into the city and sacrificed on the altars which not
ἐξῆν αὐτῷ καὶ ἀπήντα τοῖς ἱεροῖς περὶ ἃ
it-was-permitted for-him and met the sacred(-rites) concerning which
ἠσέβησεν, εἰσῆλθεν εἰς τὸ Ἐλευσίνιον, ἐχερνίψατο ἐκ
he-committed-impiety entered into the Eleusinium washed-his-hands from
τῆς ἱερᾶς χέρνιβος. τίνα χρὴ ταῦτα ἀνασχέσθαι;
the holy lustral-water who must these-things to-endure

Ποῖον φίλον, ποῖον συγγενῆ, ποῖον δημότην χρὴ 53
what-sort-of friend what-sort-of kinsman what-sort-of demesman must
τούτῳ χαρισάμενον κρύβδην φανερῶς τοῖς θεοῖς ἀπεχθέσθαι;
to-him having-done-a-favor secretly openly to-the gods to-incur-hatred
νῦν οὖν χρὴ νομίζειν τιμωρουμένους καὶ ἀπαλλαττομένους
now then one-must to-think punishing and getting-rid-of
Ἀνδοκίδου τὴν πόλιν καθαίρειν καὶ ἀποδιοπομπεῖσθαι καὶ
Andocides the city to-purify and to-avert and
φαρμακὸν ἀποπέμπειν καὶ ἀλιτηρίου ἀπαλλάττεσθαι,
a-scapegoat to-send-away and of-an-accursed-man to-be-rid
ὡς ἓν τούτων οὗτός ἐστι.
since one of-these this-man is
Βούλομαι τοίνυν εἰπεῖν ἃ Διοκλῆς ὁ Ζακόρου 54
I-wish then to-tell what(-things) Diocles the(-son) of-Zacorus
τοῦ ἱεροφάντου, πάππος δὲ ἡμέτερος, συνεβούλευσε
the hierophant grandfather and our advised
βουλευομένοις ὑμῖν ὅ τι δεῖ χρῆσθαι Μεγαρεῖ
deliberating to-you what (thing) one-must to-do-with a-Megarian
ἀνδρὶ ἠσεβηκότι. κελευόντων γὰρ ἑτέρων ἄκριτον
man having-committed-impiety bidding for others untried
παραχρῆμα ἀποκτεῖναι, παρῄνεσε κρῖναι τῶν ἀνθρώπων
at-once to-kill he-advised to-try(-him) of-the men
ἕνεκα, ἵνα ἀκούσαντες καὶ ἰδόντες σωφρονέστεροι οἱ
for-the-sake so-that having-heard and having-seen more-prudent the
ἄλλοι ὦσι, τῶν δὲ θεῶν ἕνεκα οἴκοθεν ἕκαστον,
others may-be of-the and gods for-the-sake from-home each
ἃ δεῖ τὸν ἀσεβοῦντα παθεῖν, αὐτὸν παρ᾽
what(-things) must the(-man) committing-impiety to-suffer himself in
ἑαυτῷ κεκρικότα εἰς τὸ δικαστήριον εἰσιέναι.
himself having-judged into the court to-enter

55 Καὶ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, (ἐπίστασθε γὰρ ἃ
and you O men Athenians you-know for what(-things)
δεῖ ποιῆσαι) μὴ ἀναπεισθῆτε ὑπὸ τούτου. φανερῶς
one-must to-do not be-won-over by him openly
ἔχετε αὐτὸν ἀσεβοῦντα· εἴδετε, ἠκούσατε τὰ τούτου
you-have him committing-impiety you-saw you-heard the his
ἁμαρτήματα. ἀντιβολήσει καὶ ἱκετεύσει ὑμᾶς· μὴ ἐλεεῖτε.
errors he-will-entreat and will-supplicate you not pity
οὐ γὰρ οἱ δικαίως ἀποθνήσκοντες ἀλλ᾽ οἱ ἀδίκως
not for the(-men) justly dying but the(-men) unjustly
ἄξιοί εἰσιν ἐλεεῖσθαι.
worthy are to-be-pitied

LYSIAS

ΚΑΤΗΓΟΡΙΑ ΠΡΟΣ ΤΟΥΣ ΣΥΝΟΥΣΙΑΣΤΑΣ ΚΑΚΟΛΟΓΙΩΝ

Accusation of Calumny

The speaker addresses the members of his club who have slandered him behind his back. They claimed to despise his company, so he asks which of them he ever wronged, since they say he associates with them against their will. They abused him in secret while calling him a friend in public, and when the abuse was reported to him, they went round accusing themselves of keeping bad company by choice; he recounts their tricks over a horse and an arbitration, and their pretext that Thrasymachus spoke ill of them because of him. He now withdraws from their friendship, glad to be free of men who only talked ill of him.

Ἐπιτήδειόν μοι δοκῶ καιρὸν εἰληφέναι περὶ ὧν 1
suitable to-me I-seem moment to-have-got about which(-things)
εἰπεῖν ἐβουλόμην πάλαι· πάρεισι μὲν γὰρ οἷς
to-speak I-wished long-ago are-present indeed for (those)-whom
ἐπεγκαλῶ, πάρεισι δὲ ὧν ἐναντίον ἐπιθυμῶ μέμψασθαι
I-reproach are-present and before whom I-desire to-blame
τοῖς ἀδικοῦσιν ἐμέ. καίτοι πολλῷ πλείων ἐστὶ σπουδὴ
the(-men) wronging me and-yet much greater is concern
πρὸς τοὺς παρόντας· τοὺς μὲν γὰρ παρ᾽ οὐδὲν
toward the(-men) present the(-ones) indeed for as nothing
οἶμαι τιμήσειν, εἰ τοῖς ἐπιτηδείοις ἀνεπιτήδειοι
I-think to-be-going-to-value-it if to-the friends unfriendly
δόξουσιν εἶναι (τὴν γὰρ ἀρχὴν οὐδ᾽ ἂν ἐπεχείρουν
they-will-seem to-be the for beginning not-even — would-they-have-attempted
ἐξαμαρτάνειν εἰς ἐμέ),
to-offend against me
τοῖς δὲ βουλοίμην ἂν δόξαι μηδὲν ἀδικῶν τούτους ὑπὸ 2
to-the(-others) and I-should-wish — to-seem nothing wronging these by
τούτων ἀδικεῖσθαι πρότερον. ἀνιαρὸν μὲν οὖν ἀναγκάζεσθαι
these to-be-wronged first painful indeed then to-be-compelled
λέγειν περὶ τούτων, ἀδύνατον δὲ μὴ λέγειν, ὅταν ἐναντίον
to-speak about these(-things) impossible but not to-speak when contrary-to

τῆς ἐλπίδος κακῶς πάσχω καὶ τοὺς δοκοῦντας εἶναι
the hope badly I-am-treated and the(-men) seeming to-be
φίλους ἀδικοῦντας εὑρίσκω.
friends doing-wrong I-find

3 Πρῶτον μὲν οὖν, ἵνα μή τις ὑμῶν τάχα δὴ βοηθῶν
first indeed then so-that not anyone of-you perhaps indeed helping
οἷς ἐξημάρτηκε πρόφασιν πορίσηται τῆς ἁμαρτίας,
(the-men)-whom he-has-wronged pretext may-provide for-the error
εἰπάτω οὖν τίς ὑμῶν ὑπ᾽ ἐμοῦ κακῶς ἀκήκοεν ἢ πέπονθεν,
let-him-say then who of-you by me badly has-heard or has-suffered
ἢ τίς ἐμοῦ δεηθεὶς οὐκ ἔτυχεν ὧν ἐγώ τε δυνατὸς
or who of-me having-asked not obtained what(-things) I both able
ἦ κἀκεῖνος ἐπήγγειλε. — τί δῆτά με κακῶς τὰ
was and-he promised why then me badly the(-ones)
μὲν λέγειν τὰ δὲ ποιεῖν ἐπιχειρεῖτε, καὶ ταῦτα
indeed to-speak-of the(-others) and to-do do-you-attempt and these-things
πρὸς τούτους ἡμᾶς διαβάλλειν, οὓς πρὸς ἡμᾶς αὐτοὺς
to these us to-slander whom to us- -selves
διεβάλλετε;
you-were-slandering

4 Καίτοι οὕτως ἐνοχλεῖτε, ὥστε περὶ πλείονος ἐποιήσασθε
and-yet so you-are-troublesome that of more you-made
δοκεῖν ἐμοῦ κήδεσθαι, καὶ μᾶλλον ἐμοῦ κατειπεῖν. ἃ
to-seem for-me to-care and rather me to-denounce what(-things)
δ᾽ ἐλέγετε, πάντα μὲν οὐκ ἂν εἴποιμι (καὶ γὰρ ἀκούων
but you-said all indeed not — I-would-tell and for hearing
ἠχθόμην), οὐδ᾽ ἂν ὑμῖν ἐπικαλῶν, ὅ τι ἐλέγετε κατ᾽
I-was-vexed nor — to-you charging what ever you-said against
ἐμοῦ, ταὐτὰ λέξαιμι· καὶ γὰρ ἂν ἀπολύοιμι τῆς
me the-same(-things) I-would-say and for — I-would-free from-the

αἰτίας ὑμᾶς, εἴπερ ὑμῖν ταὐτὰ λέγοιμι ὑπὲρ
charge you if-indeed to-you the-same(-things) I-should-say on-behalf-of
ἐμαυτοῦ·
myself
ἃ δὲ ὑβρίζειν οἰόμενοι ἐμὲ καταγελάστους ὑμᾶς 5
what(-things) but to-insult thinking me ridiculous your-
αὐτοὺς ἐποιεῖτε, ταῦτα λέξω. βίᾳ γὰρ ὑμῖν ἐφάσκετέ
-selves you-made these-things I-will-tell by-force for with-you you-claimed
με ξυνεῖναι καὶ διαλέγεσθαι, καὶ πάντα ποιοῦντες οὐκ
me to-associate and to-converse and all(-things) doing not
ἔχειν ὅπως ἀπαλλαγῆτέ μου, καὶ τὸ τελευταῖον ἀκόντων
to-be-able how you-might-be-rid of-me and the last unwilling
ὑμῶν Ἐλευσῖνάδε ξυνθεωρεῖν. καὶ ταῦτα λέγοντες οἴεσθε
you to-Eleusis to-go-as-fellow-envoy and these-things saying you-think
μὲν ἐμὲ κακολογεῖν, ἀποφαίνετε δὲ σκαιοτάτους ἑαυτούς,
indeed me to-revile you-show but most-stupid yourselves
οἵτινες μὲν ὑπὸ τὸν αὐτὸν χρόνον τὸν αὐτὸν ἄνδρα
who indeed at the same time the same man
λάθρᾳ μὲν ἐλοιδορεῖτε, φανερῶς δὲ φίλον ἐνομίζετε.
secretly indeed abused openly but friend considered
Χρῆν γὰρ ὑμᾶς ἢ μὴ κακῶς λέγειν ἢ μὴ ξυνεῖναι, 6
it-was-needful for you either not badly to-speak or not to-associate
καὶ ταῦτα φανερῶς ἀπειπόντας ὁμιλίαν. εἰ δὲ αἰσχρὸν
and these-things openly having-renounced the-company if but shameful
ἡγεῖσθε τοῦτο, πῶς αἰσχρὸν ἦν ὑμῖν ξυνεῖναι, πρὸς ὃν
you-consider this how shameful was-it for-you to-associate with whom
οὐδὲ ἀπειπεῖν καλὸν ἡγεῖσθε;
not-even to-renounce fine you-consider
Καὶ μὴν οὐδὲν αὐτὸς ἐξηῦρον ὁπόθεν ἂν εἰκότως 7
and indeed nothing myself I-found from-where — reasonably
ὑπερεῖδετε τὴν ἐμὴν ὁμιλίαν. οὔτε γὰρ ὑμᾶς
you-would-have-despised the my company neither for you

σοφωτάτους ἑώρων ὄντας, ἐμαυτὸν δ' ἀμαθέστατον,
wisest I-saw being myself and most-ignorant
οὐ μὴν οὐδὲ πολυφίλους ὑμᾶς, ἐμαυτὸν δ' ἔρημον
not indeed nor having-many-friends you myself and bereft
φίλων, οὐδ' αὖ πλουτοῦντας, ἐμὲ δὲ πενόμενον, οὐδ' αὖ
of-friends nor again being-rich me but being-poor nor again
ὑμᾶς μὲν ὑπερευδοκιμοῦντας, ἐμαυτὸν δὲ διαβεβλημένον,
you indeed surpassing-in-reputation myself but slandered
οὐδὲ τὰ μὲν ἐμὰ πράγματα κινδυνεύοντα, τὰ
nor the(-affairs) indeed my affairs in-danger the(-affairs)
δ' ὑμέτερα ἀσφαλῶς ἔχοντα. πόθεν ἂν οὖν εἰκότως
but yours safely being from-where — then reasonably
ὑπώπτευον ἄχθεσθαί μοι συνόντι;
would-I-suspect to-be-vexed with-me associating

8 Καὶ ταῦτα δ' ὅτε πρὸς τοὺς τελευταίους ἐλέγετ', οὐκ
and these-things and when to the last you-said not
ᾤεσθε ἀπαγγελεῖν ἡμῖν, κἀνταῦθα σόφισμα καλὸν
you-thought to-be-going-to-report to-us and-there a-device fine
ἡγούμενοι περιήλθετε πάντας ὑμῶν αὐτῶν κατηγοροῦντες
thinking(-it) you-went-round all your- -selves accusing
ὅτι πονηροῖς ἑκόντες ὁμιλεῖτε. περὶ μὲν οὖν τοῦ
that with-wicked(-men) willingly you-associate about indeed then the(-one)
λέγοντος οὐδὲν ἂν περαίνοιτε πυνθανόμενοι. πρῶτον
telling nothing — would-you-accomplish inquiring first
μὲν γὰρ εἰδότες ἐρήσεσθε τὸν εἰπόντα μοι· πῶς γὰρ
indeed for knowing you-will-ask the(-one) having-told me how for
οὐκ ἴστε πρὸς ὃν ἐλέγετε τὸν λόγον;
not do-you-know to whom you-said the word

9 Ἔπειτα κακὸς ἂν εἴην, εἰ ταὐτὰ ποιήσαιμι αὐτὸν
then base — I-should-be if the-same(-things) I-should-do him
ἅπερ ἐκεῖνος ὑμᾶς. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἐκεῖνος
which-very he you not for on the same(-terms) he

ἡμῖν ἀπήγγελλεν, ἐφ᾽ οἷσπερ ὑμεῖς ἐλέγετε πρὸς ἐκεῖνον.
to-us reported on which-very you said to him
ἐκεῖνος μὲν γὰρ ἐμοὶ χαριζόμενος ἀπήγγειλε τοῖς ἐμοῖς
he indeed for to-me doing-a-favor reported to-the my
ἀναγκαίοις, ὑμεῖς δὲ βλάπτειν ἐμὲ βουλόμενοι πρὸς ἐκεῖνον
relatives you but to-harm me wishing to him
ἐλέγετε. καὶ ταῦτα εἰ μὲν ἠπίστουν, ἐξελέγχειν ἂν
said and these-things if indeed I-disbelieved to-test —
ἐζήτουν· νῦν δὲ (ξυμβαίνει γὰρ καὶ ταῦτα τοῖς
I-would-seek now but they-agree for also these-things with-the(-things)
πρὸ τοῦ, καὶ ἐμοὶ σημεῖα ταῦτα μὲν ἐκείνων ἐστίν,
before that and to-me signs these indeed of-those are
ἐκεῖνα δὲ τούτων ἱκανά) πρῶτον μὲν ἅπαντα δι᾽ 10
those(-things) and of-these sufficient first indeed all through
ὑμῶν πράξαντά με περὶ τῆς θέσεως τοῦ ἵππου πρὸς
you having-done me about the pledging of-the horse with
Ἡγέμαχον, κάμνοντα τὸν ἵππον ἀνάγειν με βουλόμενον
Hegemachus being-sick the horse to-take-back me wishing
Διόδωρος οὑτοσὶ ἀποτρέπειν ἐπειρᾶτο, φάσκων οὐδὲν
Diodorus this-here to-dissuade tried claiming nothing
ἀντιλέξειν περὶ τῶν δώδεκα μνῶν Πολυκλέα, ἀλλ᾽
to-be-going-to-dispute about the twelve minas Polycles but
ἀποδώσειν. τότε λέγων ταῦτα, μετὰ τὸν θάνατον τοῦ
to-be-going-to-pay(-them) then saying these-things after the death of-the
ἵππου κατέστη τελευτῶν ἀντίδικος μετὰ τούτων, λέγων
horse he-stood finally opponent with these saying
ὡς οὐ δίκαιόν με εἴη κομίσασθαι τὸ ἀργύριον.
that not just me it-was to-recover the money
Καίτοι γε σφῶν γε αὐτῶν κατηγόρουν. εἰ γὰρ 11
and-yet at-least them- at-least -selves they-were-accusing if for
ἃ μετὰ τούτων ἔπραττον ἀδικουμένῳ μοι μηδὲν ἦν
what(-things) with these they-did being-wronged to-me nothing was

δίκαιον εἰπεῖν, ἦ που καλῶς συνέπραττον. καὶ ἐγὼ
just to-say surely I-suppose well they-acted-with(-them) and I
μὲν ᾤμην φιλοσοφοῦντας αὐτοὺς περὶ τοῦ πράγματος
indeed thought arguing them about the matter
ἀντιλέγειν τὸν ἐναντίον λόγον· οἱ δ' ἄρα οὐκ ἀντέλεγον
to-maintain the opposite argument they but then not argued-against(-me)
ἀλλ' ἀντέπραττον,
but worked-against(-me)
12 καὶ διὰ τοῦτο ἀντέπραττον, ἵνα τὸν ἐμὸν λόγον
and because-of this they-worked-against(-me) so-that the my argument
εἰδείη Πολυκλῆς· ἐδηλώθη γὰρ ταῦτα. παρόντων τῶν
might-know Polycles it-was-made-plain for these-things being-present the
διαιτητῶν ὀργιζόμενος ὁ Πολυκλῆς εἶπεν ὅτι καὶ τοῖς
arbitrators being-angry — Polycles said that even to-the
ἐμοῖς ἐπιτηδείοις ἀδικεῖν δοκοίην, ὡς πρὸς ἐκεῖνον λέγοιεν.
my friends to-do-wrong I-seemed as to him they-said
ἆρά γε ταῦτα ξυμβαίνει τοῖς ἀπαγγελλομένοις; ὁ
then at-least these-things agree with-the(-things) reported the
γὰρ αὐτὸς ἀπήγγειλεν ὡς τοὺς ὑπὲρ ἐμοῦ μέλλοντας
for same(-man) reported that the(-men) on-behalf-of me being-about
λέγειν ἀποτρέψειν φάσκοιτε, τοὺς δέ τινας ἤδη
to-speak to-be-going-to-dissuade you-claimed the(-ones) and some already
κωλύσαιτε. καὶ ταῦτα τί με δεῖ φανερώτερον ἐξελέγχειν;
you-prevented and these-things why me must more-clearly to-prove
13 Φέρε γάρ, ᾔδει ποτ' ἐκεῖνος ὅτι Κλειτοδίκου δεηθεὶς
come for did-he-know ever he that Cleitodicus having-asked
ἐπιλέγειν οὐκ ἔτυχον; οὐ γὰρ δὴ παρῆν τούτοις·
to-speak-for(-me) not I-obtained(-it) not for indeed he-was-present with-these
ἢ τί κέρδος ἦν αὐτῷ διαβάλλειν ἐμὲ πρὸς ὑμᾶς οὕτω
or what profit was to-him to-slander me to you so

προθύμως, ὥστε σπουδάσαι πρὸς τοὺς ἐμοὺς ἀναγκαίους
eagerly as to-be-zealous to the my relatives
πλάσασθαι ταῦτα;
to-fabricate these-things
Γιγνώσκω δὲ νῦν ἤδη καὶ πάλαι ζητοῦντας πρόφασιν, 14
I-recognize and now already also long-ago seeking pretext
ἡνίκα Θρασύμαχον ὑμᾶς ἐφάσκετε κακῶς λέγειν δι'
when Thrasymachus you claimed badly to-speak-of because-of
ἐμέ. καὶ ἐγὼ μὲν ἠρώτων αὐτὸν εἰ δι' ἐμὲ κακῶς
me and I indeed asked him if because-of me badly
λέγοι Διόδωρον· ὁ δὲ τοσοῦτον ὑπερεῖδε τὸ δι'
he-spoke-of Diodorus he and so-much despised the because-of
ἐμέ· πολλοῦ γὰρ δεῖν ἔφη δι' ὁντινοῦν εἰρηκέναι
me much for to-lack he-said because-of anyone-whatever to-have-spoken-of
Διόδωρον κακῶς. καὶ ταῦτα προσάγοντος ἐμοῦ πρόθυμος
Diodorus badly and these-things bringing-forward me eager
ὁ Θρασύμαχος ἦν ἐξελέγχεσθαι,
— Thrasymachus was to-be-examined
περὶ ὧν οὗτος ἔλεγεν· οὗτος δὲ πάντα μᾶλλον διεπράττετο. 15
about which this-man said this-man but all(-things) rather contrived
μετὰ τοῦτο Αὐτοκράτης ἐμοῦ παρόντος Θρασυμάχῳ ἔλεγεν
after this Autocrates me being-present to-Thrasymachus said
Εὐρυπτόλεμον αὐτῷ μέμφεσθαι, φάσκοντα κακῶς ἀκούειν
Euryptolemus to-him to-complain claiming badly to-be-spoken-of
ὑπ' αὐτοῦ· τὸν ἀπαγγέλλοντα δὲ εἶναι Μηνόφιλον. εὐθὺς
by him the reporting and to-be Menophilus at-once
δ' ἐκεῖνος ἐπὶ τὸν Μηνόφιλον ἐβάδιζε μετ' ἐμοῦ· κἀκεῖνος
and he to — Menophilus went with me and-he
οὔτε ἀκοῦσαι πώποτε ἔφασκεν οὔτε ἀπαγγεῖλαι πρὸς
neither to-have-heard ever said nor to-have-reported to

Εὐρυπτόλεμον, καὶ οὐ ταῦτα μόνον, ἀλλ' οὐδὲ διειλέχθαι
Euryptolemus and not these-things only but not-even to-have-conversed
πολλοῦ χρόνου.
for-a-long time

16 Τοιαύτας προφάσεις προφασιζόμενοι τότε μὲν ἐκ τῆς
such pretexts pretending then indeed from the
ἐμῆς καὶ Θρασυμάχου συνουσίας ἐστὲ φανεροί, νῦν δὲ
my and of-Thrasymachus company you-are evident now and
ἐπειδὴ ἐκλελοίπασιν ὑμᾶς αἱ προφάσεις, ἐλευθεριώτερόν με
since have-failed you the pretexts more-freely me
κακῶσαι λείπετε ἤδη οὐδέν. χρῆν μὲν οὖν τότε
to-harm you-leave already nothing it-was-needful indeed then at-that-time
με γιγνώσκειν ὀφειλόμενόν μοι ταῦτα παθεῖν, ὅτε καὶ
me to-recognize being-owed to-me these-things to-suffer when also
πρὸς ἐμὲ περὶ ὑμῶν αὐτῶν ἐλέγετε κακῶς· ἔπειτα καὶ
to me about your- -selves you-spoke badly then also
περὶ Πολυκλέους, ᾧ νυνὶ βοηθεῖτε,
about Polycles whom now you-help

17 πάντ' εἴρηκα πρὸς ὑμᾶς. κατὰ τί δὴ ταῦτα οὐκ
all(-things) I-have-said to you on what indeed these-things not
ἐφυλαττόμην; εὔηθές τι ἔπαθον. ᾤμην γὰρ ἀπόθετος
did-I-guard-against simple something I-suffered I-thought for laid-by
ὑμῖν εἶναι φίλος †τοῦ μηδὲν ἀκοῦσαι κακὸν δι'
for-you to-be friend of-the nothing to-hear evil on-account-of
αὐτὸ τοῦτο, διότι πρὸς ἐμὲ τοὺς ἄλλους ἐλέγετε κακῶς,
itself this because to me the others you-spoke badly
παρακαταθήκην ἔχων ὑμῶν παρ' ἑκάστου λόγους πονηροὺς
a-deposit having of-you from each words wicked
περὶ ἀλλήλων.
about one-another

Ἐγὼ τοίνυν ἑκὼν ὑμῖν ἐξίσταμαι τῆς φιλίας, ἐπεί τοι 18
I then willingly for-you withdraw from-the friendship since surely
μὰ τοὺς θεοὺς οὐκ οἶδ' ὅ τι ζημιωθήσομαι μὴ ξυνὼν
by the gods not I-know what (way) I-will-be-penalized not associating
ὑμῖν· οὐδὲ γὰρ ὠφελούμην ξυνών. πότερον γάρ, ὅταν
with-you not-even for was-I-benefited associating whether for when
ᾖ τί μοι πρᾶγμα, τότε ποθέσομαι τὸν ἐροῦντα
there-is some for-me business then shall-I-feel-the-want-of the(-one) going-to-speak
καὶ τοὺς μαρτυρήσοντας; καὶ νῦν ἀντὶ μὲν τοῦ λέγειν
and the(-ones) going-to-testify and now instead-of indeed the to-speak
ὑπὲρ ἐμοῦ τὸν λέγοντα πειρᾶσθε κωλύειν, ἀντὶ δὲ
on-behalf-of me the(-one) speaking you-try to-prevent instead-of and
τοῦ βοηθεῖν ἐμοὶ καὶ μαρτυρεῖν τὰ δίκαια ξύνεστε τοῖς
the to-help me and to-testify the just(-things) you-associate with-the
ἐμοῖς ἀντιδίκοις καὶ μαρτυρεῖτε.
my opponents and testify
Ἀλλ' ὡς εὖνους ὄντες ἐμοὶ τὰ βέλτιστα ἐρεῖτε περὶ 19
but as well-disposed being to-me the best(-things) will-you-say about
ἐμοῦ; ἀλλὰ καὶ νῦν ὑμεῖς με μόνοι κακῶς λέγετε. τὸ μὲν
me but even now you me alone badly speak-of the indeed
οὖν ἐμὸν οὐκ ἐμποδὼν ὑμῖν ἔσται. τοιοῦτον γὰρ πρὸς
then my-part not in-the-way for-you will-be such for toward
ὑμᾶς αὐτοὺς πείσεσθε, ἐπειδήπερ ὑμῖν ἔθος ἐστὶν ἕνα
your- -selves you-will-be-treated since for-you custom it-is one
τῶν ξυνόντων ἀεὶ κακῶς λέγειν καὶ ποιεῖν· ἐπειδὰν ὑμῖν
of-the associates always badly to-speak-of and to-treat when for-you
ἐγὼ μὴ ξυνῶ, πρὸς ὑμᾶς αὐτοὺς τρέψεσθε, κἄπειτα καθ'
I not associate on your- -selves you-will-turn and-then by
ἕνα ἕκαστον ὑμῖν αὐτοῖς ἀπεχθήσεσθε, τὸ δὲ τελευταῖον
one each to-your- -selves you-will-become-hateful the and last
ὁ εἷς ὁ λειπόμενος αὐτὸς αὑτὸν κακῶς ἐρεῖ.
the one the left himself himself badly will-speak-of

20 Κερδανῶ δὲ τοσοῦτον, ὅτι πρῶτον μὲν ὑμῶν ἀπαλλαγεὶς
I-will-gain and so-much that first indeed from-you having-been-freed
ἐλάχιστα κακῶς ὑφ᾽ ὑμῶν πείσομαι· τοὺς μὲν γὰρ
least badly by you I-will-suffer the(-ones) indeed for
χρωμένους ὑμῖν κακῶς καὶ λέγετε καὶ ποιεῖτε, τῶν δὲ
associating with-you badly both you-speak-of and treat of-the but
μὴ χρωμένων οὐδένα πώποτε.
not associating no-one ever

LYSIAS

ΥΠΕΡ ΤΟΥ ΣΤΡΑΤΙΩΤΟΥ

For the Soldier

A man back in Athens less than two months was enrolled again as a soldier and protested. When the generals heard he had abused them at Philius' bank, they fined him, but the treasurers inquired and released him. The law fines only abuse of a magistrate in session, and he was not in the office. The generals never submitted the fine to a court and acted out of enmity, for his friendship with Sostratus. He contends in word about the list, but in deed about his citizenship, and asks the jurors not to let enmity defeat justice.

Τί ποτε διανοηθέντες οἱ ἀντίδικοι τοῦ μὲν πράγματος 1
what ever having-intended the opponents the indeed matter
παρημελήκασι, τὸν δὲ τρόπον μου ἐπεχείρησαν διαβάλλειν;
have-neglected the but character my have-attempted to-slander
πότερον ἀγνοοῦντες ὅτι περὶ τοῦ πράγματος προσήκει λέγειν;
whether not-knowing that about the matter it-befits to-speak
ἢ τόδε μὲν ἐπίστανται, ἡγούμενοι δὲ λήσειν
or this indeed they-know thinking but to-be-going-to-escape-notice
περὶ παντὸς πλείω λόγον ἢ τοῦ προσήκοντος
about everything more speech than the fitting(-point)
ποιοῦνται;
they-make
Ὅτι μὲν οὐκ ἐμοῦ καταφρονήσαντες ἀλλὰ τοῦ 2
that indeed not me having-despised but the
πράγματος τοὺς λόγους ποιοῦνται, σαφῶς ἐπίσταμαι·
matter the speeches they-make clearly I-know
εἰ μέντοι ὑμᾶς οἴονται δι' ἄγνοιαν ὑπὸ τῶν
if however you they-think through ignorance by the
διαβολῶν πεισθέντας καταψηφιεῖσθαί μου, τοῦτ' ἂν
slanders persuaded to-be-going-to-condemn me this —
θαυμάσαιμι.
I-would-wonder-at

3 Ὤιμην μὲν οὖν, ὦ ἄνδρες δικασταί, περὶ τοῦ
I-thought indeed then O men jurors about the
ἐγκλήματος, οὐ περὶ τοῦ τρόπου τὸν ἀγῶνά μοι
charge not about the character the contest for-me
προκεῖσθαι· διαβαλλόντων δέ με τῶν ἀντιδίκων
to-lie-before slandering and me the opponents
ἀναγκαῖόν ἐστι περὶ πάντων τὴν ἀπολογίαν
necessary it-is about all-things the defense
ποιήσασθαι. πρῶτον μὲν οὖν περὶ τῆς ἀπογραφῆς
to-make first indeed then about the list
ὑμᾶς διδάξω.
you I-will-teach

4 Ἀφικόμενος προπέρυσιν εἰς τὴν πόλιν, οὔπω δύο
having-arrived the-year-before-last into the city not-yet two
μῆνας ἐπιδεδημηκὼς κατελέγην στρατιώτης. αἰσθόμενος
months having-been-in-town I-was-enrolled (as)-soldier having-perceived
δὲ τὸ πραχθὲν ὑπετοπούμην εὐθέως ἐπὶ μηδενὶ
and the(-thing) done I-suspected at-once on nothing
ὑγιεῖ κατειλέχθαι. προσελθὼν οὖν τῷ στρατηγῷ
sound to-have-been-enrolled having-approached then the general
ἐδήλωσα ὅτι ἐστρατευμένος εἴην, ἔτυχον δὲ οὐδενὸς
I-made-plain that having-served-on-campaign I-was I-obtained but nothing
τῶν μετρίων. προπηλακιζόμενος δὲ ἠγανάκτουν
of-the reasonable(-things) being-insulted and I-was-indignant
μέν,
indeed

5 ἡσυχίαν δ' εἶχον. ἀπορούμενος δὲ καὶ συμβουλευόμενός
quiet but I-kept being-at-a-loss and and consulting
τινι τῶν πολιτῶν τί χρήσωμαι τῷ πράγματι,
some-one of-the citizens how I-should-deal-with the matter
ἐπυθόμην ὡς καὶ δήσειν με ἀπειλοῖεν, λέγοντες
I-learned that even to-be-going-to-imprison me they-threatened saying

ὅτι οὐδὲν ἐλάττω χρόνον Καλλικράτους Πολύαινος
that no less time than-Callicrates Polyaenus
ἐνδημοίη.
was-in-town
Κἀμοὶ μὲν τὰ προειρημένα διείλεκτο ἐπὶ τῇ Φιλίου 6
and-to-me indeed the(-things) aforesaid had-been-said at the of-Philius
τραπέζῃ· οἱ δὲ μετὰ Κτησικλέους τοῦ ἄρχοντος,
bank the(-men) and with Ctesicles the magistrate
ἀπαγγείλαντός τινος ὡς ἐγὼ λοιδοροῖμι, τοῦ νόμου
having-reported someone that I abused(-them) the law
ἀπαγορεύοντος ἐάν τις ἀρχὴν ἐν συνεδρίῳ λοιδορῇ,
forbidding if anyone a-magistrate in session abuses
παρὰ τὸν νόμον ζημιῶσαι ἠξίωσαν. ἐπιβαλόντες δὲ
contrary-to the law to-fine(-me) they-thought-fit having-imposed and
τὸ ἀργύριον πράξασθαι μὲν οὐκ ἐπεχείρησαν, ἐξιούσης
the money to-exact indeed not they-attempted going-out
δὲ τῆς ἀρχῆς γράψαντες εἰς λεύκωμα τοῖς ταμίαις
and the office having-written on a-tablet to-the treasurers
παρέδοσαν.
they-handed-over
Οἵδε μὲν τάδε διεπράξαντο· οἱ δὲ ταμίαι οὐδὲν 7
these indeed these(-things) accomplished the and treasurers nothing
ὅμοιον τοῖσδε διανοηθέντες, ἀνακαλεσάμενοι τοὺς
like to-these having-intended having-summoned the(-men)
παραδόντας τὴν γραφήν, ἐσκοποῦντο τῆς αἰτίας τὴν
having-handed-over the charge inquired-into of-the accusation the
πρόφασιν. ἀκούσαντες δὲ τὸ γεγενημένον, ἐννοούμενοι
pretext having-heard and the happened(-thing) reflecting
οἷα πεπονθὼς ἦ, τὸ μὲν πρῶτον ἔπειθον
what-sort-of(-things) having-suffered I-was the indeed first they-tried-to-persuade
αὐτοὺς ἀφεῖναι, διδάσκοντες ὡς οὐκ ἐπιεικὲς εἴη
them to-release(-me) showing that not reasonable it-was

τῶν πολιτῶν τινας διὰ τὰς ἔχθρας ἀναγράφεσθαι,
of-the citizens some because-of the enmities to-be-registered
ἀποροῦντες δὲ μεταπεῖσαι αὐτούς, τὸν παρ᾽ ὑμῶν
being-at-a-loss and to-dissuade them the from you
κίνδυνον ὑποστάντες ἄκυρον τὴν ζημίαν ἔκριναν
risk having-undertaken void the fine they-judged

***

(lacuna)

8 Ὅτι μὲν οὖν ἀφείθην ὑπὸ τῶν ταμιῶν, ἐπίστασθε·
that indeed then I-was-released by the treasurers you-know
προσήκειν δὲ ἡγούμενος καὶ διὰ ταύτην τὴν ἀπόδειξιν
to-be-fitting and thinking also through this the proof
ἀπηλλάχθαι τοῦ ἐγκλήματος, ἔτι πλείονας καὶ νόμους
to-have-been-freed from-the charge further more both laws
καὶ ἄλλας δικαιώσεις παρασχήσομαι. Καί μοι λαβὲ τὸν
and other pleas I-will-furnish and to-me take the
νόμον.
law

ΝΟΜΟΣ.
law

9 Τοῦ μὲν νόμου διαρρήδην ἀγορεύοντος τοὺς ἐν τῷ
the indeed law expressly declaring the(-men) in the
συνεδρίῳ λοιδοροῦντας ζημιοῦν ἀκηκόατε· ἐγὼ δ᾽ ὅτι
session abusing to-fine you-have-heard I and that
μὲν οὐκ εἰσῆλθον εἰς τὸ ἀρχεῖον, μάρτυρας παρεσχόμην,
indeed not I-entered into the office witnesses I-produced
ἀδίκως δὲ ζημιωθεὶς οὔτ᾽ ὀφείλω οὔτ᾽ ἐκτεῖσαι δίκαιός
unjustly and having-been-fined neither I-owe nor to-pay just
εἰμι.
I-am

Εἰ γὰρ φανερός εἰμι μὴ ἐλθὼν εἰς τὸ συνέδριον, 10
if for evident I-am not having-come into the session
ὁ δὲ νόμος τοὺς ἐντὸς πλημμελοῦντας ἀγορεύει
the and law the(-men) inside offending declares
τὴν ζημίαν ὀφείλειν, ἠδικηκὼς μὲν οὐδὲν
the fine to-owe having-done-wrong indeed nothing
φαίνομαι, ἔχθρᾳ δὲ ἄνευ τούτου παραλόγως
I-appear by-enmity and without this unreasonably
ζημιωθείς.
having-been-fined
Συνέγνωσαν δὲ καὶ αὐτοὶ σφίσιν ὡς ἠδικηκότες· 11
were-conscious and also themselves in-themselves as having-done-wrong
οὔτε γὰρ εὐθύνας ὑπέσχον, οὔτε εἰς δικαστήριον
neither for audits they-submitted-to nor into court
εἰσελθόντες τὰ πραχθέντα ψήφῳ κύρια κατέστησαν.
having-entered the(-things) done by-vote valid did-they-make
εἰ δ' οὖν ἐζημίωσαν μὲν οἵδε προσηκόντως,
if and then fined indeed these fittingly
ἐκύρωσαν δ' ἐν ὑμῖν τὴν ἐπιβολήν, τῶν ταμιῶν
they-ratified but before you the imposition the treasurers
ἀφέντων εἰκότως ἂν τοῦ ἐγκλήματος ἀπηλλαγμένος
having-released reasonably — from-the charge freed
εἴην.
I-should-be
Εἰ μὲν γὰρ μὴ κύριοι ἦσαν πράξασθαι ἢ 12
if indeed for not masters they-were to-exact or
ἀφεῖναι, ἐννόμως ζημιωθεὶς εὐλόγως ἂν ὤφειλον·
to-release lawfully having-been-fined reasonably — I-would-owe
εἰ δ' ἔξεστι μὲν αὐτοῖς ἀφεῖναι, διδόασι
if but it-is-possible indeed for-them to-release they-give
δὲ λόγους ὑπὲρ ὧν ἂν διαχειρίζωσιν, εἴ
and accounts for what(-things) — they-handle if

τι ἠδικήκασι, τῆς προσηκούσης ῥᾳδίως δίκης
anything they-have-done-wrong the fitting easily penalty
τεύξονται.
they-will-obtain

13 Ὧι μὲν τρόπῳ παρεδόθην καὶ ἐζημιώθην, ἐπίστασθε·
in-what indeed way I-was-handed-over and fined you-know
δεῖ δ' ὑμᾶς μὴ μόνον τοῦ ἐγκλήματος τὴν
it-is-needful and you not only of-the charge the
αἰτίαν ἀλλὰ καὶ τῆς ἔχθρας τὴν πρόφασιν εἰδέναι.
cause but also of-the enmity the pretext to-know
Σωστράτῳ γὰρ φίλος ἐγενόμην πρότερον μὲν τῆς
to-Sostratus for friend I-became before indeed the
τούτων ἔχθρας, εἰδὼς δὲ περὶ τὴν πόλιν ἄξιον λόγου
their enmity knowing and in the city worthy of-account
γεγενημένον.
having-been

14 Γνώριμος δὲ γενόμενος διὰ τῆς ἐκείνου δυναστείας
known and having-become through the his power
οὔτ' ἐχθρὸν ἐτιμωρησάμην οὔτε φίλον ηὐεργέτησα·
neither enemy did-I-punish nor friend benefited
ζῶντος μὲν γὰρ ἀνάγκῃ διὰ τὴν ἡλικίαν
(him)-living indeed for by-necessity because-of the age
ἐσχόλαζον, ἐκλιπόντος δὲ τὸν βίον οὔτε λόγῳ οὔτε
I-was-at-leisure having-left and the life neither in-word nor
ἔργῳ ἔβλαψα οὐδένα τῶν κατηγορούντων, ἔχω
in-deed did-I-harm anyone of-the(-men) accusing I-have
δὲ καὶ τοιαῦτα εἰπεῖν, ἐξ ὧν ὠφελοίμην ἂν
and also such(-things) to-say from which I-should-be-benefited —
πολὺ δικαιότερον ὑπὸ τῶν ἀντιδίκων ἢ κακῶς
much more-justly by the opponents than badly
πάσχοιμι.
I-should-be-treated

Τὴν μὲν οὖν ὀργὴν διὰ τὰ προειρημένα 15
the indeed then anger because-of the(-things) aforesaid
συνεστήσαντο, προφάσεως οὐδεμιᾶς πρὸς ἔχθραν
they-put-together pretext no for enmity
ὑπαρχούσης. ὀμόσαντες μὲν οὖν τοὺς ἀστρατεύτους
existing having-sworn indeed then the(-men) not-having-served
καταλέξειν παρέβησαν τοὺς ὅρκους, προὔθεσαν δὲ τῷ
to-enroll they-transgressed the oaths set-before and to-the
πλήθει βουλεύσασθαι περὶ τοῦ σώματος,
majority to-deliberate about the person
ζημιώσαντες μὲν ὡς τὴν ἀρχὴν λοιδοροῦντα, 16
having-fined indeed as the magistracy abusing
κατολιγωρήσαντες δὲ τοῦ δικαίου, βιαζόμενοι βλάπτειν
having-disregarded and the just forcing to-harm
ἐξ ἅπαντος λόγου· πᾶν δ' ἂν ἔπραξαν
by every argument everything and — they-would-have-done
μέλλοντες μεγάλα μὲν ἐμὲ βλάψειν, πολλὰ
being-about great(-things) indeed me to-harm many(-things)
δ' ἑαυτοὺς ὠφελήσειν, οἵτινες οὐδετέρου τούτων
and themselves to-benefit who neither of-these
ὑπάρχοντος πάντα περὶ ἐλάττονος ποιοῦνται τοῦ
being-the-case all(-things) of less make than-the
δικαιοῦν.
to-do-justice
Ἀλλὰ γὰρ οἳ κατεφρόνησαν τοῦ ὑμετέρου πλήθους, 17
but for who despised the your majority
οὐδὲ φοβηθῆναι τοὺς θεοὺς ἠξίωσαν, ἀλλ' οὕτως
nor to-fear the gods thought-fit but so
ὀλιγώρως καὶ παρανόμως προσηνέχθησαν, ὥστε
contemptuously and lawlessly behaved that
ἀπολογήσασθαι μὲν περὶ τῶν πεπραγμένων οὐδ'
to-defend-themselves indeed about the(-things) done not-even

ἐπεχείρησαν, τὸ δὲ τελευταῖον, νομίζοντες οὐχ
they-attempted the and last thinking not
ἱκανῶς με τετιμωρῆσθαι, τὸ πέρας ἐκ τῆς πόλεως
sufficiently me to-have-been-punished the end from the city
ἐξήλασαν.
drove(-me)-out

18 Διατεθέντες δὲ οὕτω παρανόμως καὶ βιαίως,
having-been-disposed and so lawlessly and violently
ἐπικρύψασθαι τὴν ἀδικίαν περὶ οὐδενὸς ἐποιήσαντο,
to-conceal the injustice of nothing they-made
παραγαγόντες δὲ πάλιν περὶ τῶν αὐτῶν ἠδικηκότα
having-brought-in and again about the same(-things) having-done-wrong
με οὐδὲν ἐπιδεικνύουσι καὶ λοιδοροῦσι, τοῖς μὲν
me in-nothing they-show and abuse(-me) on-the indeed
ἐμοῖς ἐπιτηδεύμασιν οὐ προσηκούσας διαβολὰς
my habits not belonging slanders
ἐπιφέροντες, τοῖς δ' αὑτῶν τρόποις τὰς οἰκείας
bringing on-the and their-own ways the proper
καὶ συνήθεις.
and customary(-ones)

19 Οἵδε μὲν οὖν ἐκ παντὸς τρόπου προθυμοῦνταί με τῇ
these indeed then by every way are-eager me in-the
δίκῃ ἁλῶναι· ὑμεῖς δὲ μήτε ταῖς τούτων διαβολαῖς
suit to-be-convicted you but neither by-the their slanders
ἐπαρθέντες ἐμοῦ καταψηφίσησθε, μήτε τοὺς βέλτιον
carried-away me condemn nor the(-men) better
καὶ δικαίως βουλευσαμένους ἀκύρους καταστήσητε.
and justly having-deliberated invalid make
οἵδε μὲν γὰρ ἅπαντα καὶ κατὰ τοὺς νόμους καὶ
these indeed for all(-things) both according-to the laws and
κατὰ τὸ εἰκὸς ἔπραξαν, καὶ ἠδικηκότες μὲν
according-to the reasonable did and having-done-wrong indeed

οὐδὲν φαίνονται, λόγον δὲ πλεῖστον τοῦ δικαίου
nothing they-appear account and most of-the just
ποιησάμενοι.
having-made

Τούτων μὲν οὖν ἀδικούντων μετρίως ἠγανάκτουν, 20
these indeed then doing-wrong moderately I-was-indignant
ἡγούμενος τετάχθαι τοὺς μὲν ἐχθροὺς κακῶς ποιεῖν,
thinking it-to-be-ordained the indeed enemies badly to-treat
τοὺς δὲ φίλους εὖ· παρ' ὑμῶν δὲ τοῦ δικαίου στερηθεὶς
the and friends well from you but of-the justice deprived
πολὺ ἂν μᾶλλον λυπηθείην. δι' ἔχθραν μὲν γὰρ
much — more I-would-be-grieved through enmity indeed for
οὐ δόξω κακῶς πεπονθέναι, διὰ κακίαν δὲ τῆς
not I-will-seem badly to-have-suffered through baseness but of-the
πόλεως.
city

Λόγῳ μὲν οὖν περὶ τῆς ἀπογραφῆς ἀγωνίζομαι, 21
in-word indeed then about the list I-contend
ἔργῳ δὲ περὶ πολιτείας. τυχὼν μὲν γὰρ τῶν
in-deed but about citizenship having-obtained indeed for the
δικαίων (πιστεύω δὲ τῇ ὑμετέρᾳ γνώμῃ) μείναιμι
just(-things) I-trust and in-the your judgment I-would-stay
ἂν ἐν τῇ πόλει· παραχθεὶς δὲ ὑπὸ τῶνδε εἰ ἀδίκως
— in the city brought-in but by these if unjustly
ἁλοίην, ἀποδραίην ἄν. τίνι γὰρ ἐπαρθέντα
I-should-be-convicted I-would-run-away — in-what for elated
ἐλπίδι δεῖ με συμπολιτεύεσθαι, ἢ τί με χρὴ
hope must me to-live-as-a-citizen or what me must
διανοηθέντα, εἰδότα μὲν τῶν ἀντιδίκων τὴν προθυμίαν,
having-intended knowing indeed of-the opponents the eagerness

ἀποροῦντα δ' ὅθεν χρὴ τῶν δικαίων τινὸς
being-at-a-loss but from-where one-must of-the just(-things) any
τυχεῖν;
to-obtain

22 Περὶ πλείστου οὖν ποιησάμενοι τὸ δίκαιον, καὶ
of most then having-made the just and
ἐνθυμηθέντες ὅτι καὶ ὑπὲρ τῶν περιφανῶν ἀδικημάτων
having-reflected that even on-behalf-of the manifest wrongs
συγγνώμην ποιεῖσθε, τοὺς μηδὲν ἀδικήσαντας διὰ τὰς
pardon you-make the(-men) nothing having-done-wrong through the
ἔχθρας μὴ περιίδητε ἀδίκως τοῖς μεγίστοις ἀτυχήμασι
enmities not overlook unjustly into-the greatest misfortunes
περιπεσόντας.
having-fallen

LYSIAS

ΚΑΤΑ ΘΕΟΜΝΗΣΤΟΥ

Against Theomnestus I

The speaker sues Theomnestus for saying in court that he had killed his father. He was thirteen when the Thirty put his father to death and could not have done it, and his elder brother took the whole estate, so he had no motive. Theomnestus will argue that the law forbids only the word murderer; the jurors should judge the meaning, not the name. Theomnestus would not let a man off for calling him a father-beater or a shield-thrower in other words, and he himself sued Lysitheus for slander over the word thrown away when the law says cast off.

Μαρτύρων μὲν οὐκ ἀπορίαν μοι ἔσεσθαι δοκῶ, ὦ 1
of-witnesses indeed not lack to-me to-be-going-to-be I-think O
ἄνδρες δικασταί· πολλοὺς γὰρ ὑμῶν ὁρῶ δικάζοντας
men jurors many for of-you I-see judging
τῶν τότε παρόντων, ὅτε Λυσίθεος Θεόμνηστον
of-the(-men) then present when Lysitheus Theomnestus
εἰσήγγελλε τὰ ὅπλα ἀποβεβληκότα, οὐκ ἐξὸν αὐτῷ,
impeached the arms having-thrown-away not being-permitted for-him
δημηγορεῖν· ἐν ἐκείνῳ γὰρ τῷ ἀγῶνι τὸν πατέρα μ᾽
to-address-the-people in that for the trial the father me
ἔφασκεν ἀπεκτονέναι τὸν ἐμαυτοῦ.
he-claimed to-have-killed the my-own
Ἐγὼ δ᾽, εἰ μὲν τὸν ἑαυτοῦ με ἀπεκτονέναι ᾐτιᾶτο, 2
I but if indeed the his-own me to-have-killed he-had-charged
συγγνώμην ἂν εἶχον αὐτῷ τῶν εἰρημένων
pardon — I-would-have-had for-him for-the(-things) said
(φαῦλον γὰρ αὐτὸν καὶ οὐδενὸς ἄξιον ἡγούμην)· οὐδ᾽ εἴ
worthless for him and of-nothing worth I-considered nor if
τι ἄλλο τῶν ἀπορρήτων ἤκουσα, οὐκ ἂν ἐπεξῆλθον
something other of-the forbidden(-words) I-heard not — I-would-have-prosecuted

αὐτῷ (ἀνελεύθερον γὰρ καὶ λίαν φιλόδικον εἶναι νομίζω
him illiberal for and too litigious to-be I-think
κακηγορίας δικάζεσθαι)·
for-slander to-go-to-law

3 νυνὶ δὲ αἰσχρόν μοι εἶναι δοκεῖ τοῦ πατρός, οὕτω
now but shameful to-me to-be it-seems the father so
πολλοῦ ἀξίου γεγενημένου καὶ ὑμῖν καὶ τῇ πόλει, μὴ
of-much worth having-been both to-you and to-the city not
τιμωρήσασθαι τὸν ταῦτ' εἰρηκότα, καὶ παρ' ὑμῶν
to-punish the(-man) these-things having-said and from you
εἰδέναι βούλομαι πότερον δώσει δίκην, ἢ τούτῳ μόνῳ
to-know I-wish whether he-will-pay penalty or for-this-man alone
Ἀθηναίων ἐξαίρετόν ἐστι καὶ ποιεῖν καὶ λέγειν παρὰ τοὺς
of-Athenians exempted it-is both to-do and to-say against the
νόμους ὅ τι ἂν βούληται.
laws what ever — he-wishes

4 Ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, ἔτη ἐστὶ δύο καὶ τριάκοντα,
to-me for O men jurors years are two and thirty
ἐξ ὅτου δ' ὑμεῖς κατεληλύθατε, εἰκοστὸν τουτί. φαίνομαι
from when and you have-returned the-twentieth this I-appear
οὖν τρισκαιδεκέτης ὢν ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα
then thirteen-years-old being when the father by the Thirty
ἀπέθνησκε. ταύτην δὲ ἔχων τὴν ἡλικίαν οὔτε τί
was-put-to-death this and having the age neither what
ἔστιν ὀλιγαρχία ἠπιστάμην, οὔτε ἂν ἐκείνῳ ἀδικουμένῳ
is oligarchy did-I-know nor — him being-wronged
ἐδυνάμην βοηθῆσαι.
would-I-have-been-able to-help

5 Καὶ μὲν δὴ οὐκ ὀρθῶς τῶν χρημάτων ἕνεκα
and indeed indeed not rightly of-the money for-the-sake
ἐπεβούλευσα ἂν αὐτῷ· ὁ γὰρ πρεσβύτερος ἀδελφὸς
I-would-have-plotted — against-him the for elder brother

Πανταλέων ἅπαντα παρέλαβε, καὶ ἐπιτροπεύσας ἡμᾶς τῶν
Pantaleon all took-over and having-been-guardian us of-the
πατρῴων ἀπεστέρησεν, ὥστε πολλῶν ἕνεκα, ὦ ἄνδρες
patrimony deprived so-that many for-the-sake-of O men
δικασταί, προσῆκέ μοι αὐτὸν βούλεσθαι ζῆν. ἀνάγκη μὲν
jurors it-befitted me him to-wish to-live necessity indeed
οὖν περὶ αὐτῶν μνησθῆναι, οὐδὲν δὲ δεῖ πολλῶν
then about these(-things) to-make-mention nothing but is-needful of-many
λόγων· σχεδὸν γὰρ ἐπίστασθε ἅπαντες ὅτι ἀληθῆ λέγω.
words nearly for you-know all that true(-things) I-speak
ὅμως δὲ μάρτυρας αὐτῶν παρέξομαι.
nevertheless but witnesses of-these I-will-present

ΜΑΡΤΥΡΕΣ.

witnesses

Ἴσως τοίνυν, ὦ ἄνδρες δικασταί, περὶ τούτων μὲν οὐδὲν 6
perhaps then O men jurors about these(-things) indeed nothing
ἀπολογήσεται, ἐρεῖ δὲ πρὸς ὑμᾶς ἅπερ ἐτόλμα λέγειν
will-he-say-in-defense he-will-say but to you what-very he-dared to-say
καὶ πρὸς τὸν διαιτητήν, ὡς οὐκ ἔστι τῶν ἀπορρήτων,
also to the arbitrator that not it-is of-the forbidden(-words)
ἐάν τις εἴπῃ τὸν πατέρα ἀπεκτονέναι· τὸν γὰρ νόμον οὐ
if one says the father to-have-killed the for law not
ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν.
these-things to-forbid but murderer not to-allow to-say
Ἐγὼ δὲ οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες δικασταί, οὐ 7
I but think it-is-needful you O men jurors not
περὶ τῶν ὀνομάτων διαφέρεσθαι ἀλλὰ τῆς τούτων
about the names to-dispute but the their
διανοίας, καὶ πάντας εἰδέναι ὅτι, ὅσοι ἀπεκτόνασί
meaning and all to-know that as-many-as have-killed
τινας, καὶ ἀνδροφόνοι εἰσί, καὶ ὅσοι ἀνδροφόνοι εἰσί,
some also murderers are and as-many-as murderers are

καὶ ἀπεκτόνασί τινας. πολὺ γὰρ ἔργον ἦν τῷ νομοθέτῃ
also have-killed some much for work it-was for-the lawgiver
ἅπαντα τὰ ὀνόματα γράφειν ὅσα τὴν αὐτὴν δύναμιν
all the names to-write as-many-as the same force
ἔχει· ἀλλὰ περὶ ἑνὸς εἰπὼν περὶ πάντων ἐδήλωσεν.
have but about one having-spoken about all he-made-plain

8 Οὐ γὰρ δήπου, ὦ Θεόμνηστε, εἰ μέν τίς σε εἴποι
not for surely O Theomnestus if indeed anyone you should-call
πατραλοίαν ἢ μητραλοίαν, ἠξίους ἂν αὐτὸν
a-father-beater or mother-beater you-would-think-it-right — him
ὄφλειν σοι δίκην, εἰ δέ τις εἴποι ὡς τὴν τεκοῦσαν
to-be-cast for-you in-a-suit if but anyone should-say that the(-one) who-bore(-you)
ἢ τὸν φύσαντα ἔτυπτες, ὤου ἂν αὐτὸν ἀζήμιον
or the(-one) who-begot(-you) you-struck you-would-think — him unpunished
δεῖν εἶναι ὡς οὐδὲν τῶν ἀπορρήτων εἰρηκότα.
to-be-needful to-be as nothing of-the forbidden(-words) having-said

9 Ἡδέως γὰρ ἄν σου πυθοίμην (περὶ τοῦτο γὰρ δεινὸς
gladly for — of-you I-would-learn about this for clever
εἶ καὶ μεμελέτηκας καὶ ποιεῖν καὶ λέγειν)· εἴ τίς σε
you-are and have-practiced both to-do and to-speak if anyone you
εἴποι ῥῖψαι τὴν ἀσπίδα (ἐν δὲ τῷ νόμῳ εἴρηται,
should-say to-have-thrown-away the shield in and the law it-is-said
‘ἐάν τις φάσκῃ ἀποβεβληκέναι, ὑπόδικον εἶναι’), οὐκ ἂν
if anyone claims to-have-cast-off(-it) liable to-be not —
ἐδικάζου αὐτῷ, ἀλλ’ ἐξῆρκει ἄν σοι ἐρριφέναι τὴν
would-you-sue him but it-would-suffice — for-you to-have-thrown the
ἀσπίδα, λέγοντι οὐδέν σοι μέλειν;
shield saying nothing to-you to-matter

10 Οὐδὲ γὰρ τὸ αὐτό ἐστι ῥῖψαι καὶ ἀποβεβληκέναι· ἀλλ’ οὐδ’
not for the same is to-throw and to-have-cast-off but not-even
ἂν τῶν ἕνδεκα γενόμενος ἀποδέξαιο, εἴ τις ἀπάγοι
— of-the Eleven having-become you-would-accept-it if anyone should-arrest

τινὰ φάσκων θοἰμάτιον ἀποδεδύσθαι ἢ τὸν χιτωνίσκον
someone claiming the-cloak to-have-been-stripped-off or the tunic
ἐκδεδύσθαι, ἀλλ᾽ ἀφείης ἂν τὸν αὐτὸν τρόπον,
to-have-been-taken-off but you-would-release(-him) — in-the same way
ὅτι οὐ λωποδύτης ὀνομάζεται. οὐδ᾽ εἴ τις παῖδα ἐξαγαγὼν
because not a-clothes-thief he-is-called nor if anyone a-child having-carried-off
ληφθείη, οὐκ ἂν φάσκοις αὐτὸν ἀνδραποδιστὴν εἶναι,
should-be-caught not — you-would-claim him kidnapper to-be
εἴπερ μαχεῖ τοῖς ὀνόμασιν, ἀλλὰ μὴ τοῖς ἔργοις τὸν
if-indeed you-will-fight with-the names but not to-the deeds the
νοῦν προσέξεις, ὧν ἕνεκα τὰ ὀνόματα πάντες τίθενται.
mind you-will-apply which for-the-sake-of the names all set
Ἔτι τοίνυν σκέψασθε, ὦ ἄνδρες δικασταί· οὑτοσὶ γάρ μοι 11
further then consider O men jurors this-man for to-me
δοκεῖ ὑπὸ ῥᾳθυμίας καὶ μαλακίας οὐδ᾽ εἰς Ἄρειον πάγον
seems through indolence and softness not-even to Ares' Hill
ἀναβεβηκέναι. πάντες γὰρ ἐπίστασθε ὅτι ἐν ἐκείνῳ τῷ
to-have-gone-up all for you-know that in that the
χωρίῳ, ὅταν τὰς τοῦ φόνου δίκας δικάζωνται, οὐ διὰ
place when the of-the murder trials they-try not through
τούτου τοῦ ὀνόματος τὰς διωμοσίας ποιοῦνται, ἀλλὰ δι᾽
this the name the oaths they-make but through
οὗπερ ἐγὼ κακῶς ἀκήκοα· ὁ μὲν γὰρ διώκων
which-very I badly have-heard-myself-called the(-one) indeed for prosecuting
ὡς ἔκτεινε διόμνυται, ὁ δὲ φεύγων ὡς οὐκ ἔκτεινεν.
that he-killed swears the(-other) and defending that not he-killed
Οὐκ οὖν ἄτοπον ἂν εἴη τὸν δράσαντ᾽ ἀφεῖναι φάσκοντα 12
not then absurd — would-it-be the doer to-release claiming
ἀνδροφόνον εἶναι, ὅτι ὁ διώκων, ὡς ἔκτεινε, τὸν
murderer to-be because the(-one) prosecuting that he-killed the
φεύγοντα διωμόσατο; τί γὰρ ταῦτα, ὧν οὗτος ἐρεῖ,
defendant swore what for these-things from-what this-man will-say

διαφέρει; καὶ αὐτὸς μὲν Λυσιθέῳ κακηγορίας ἐδικάσω εἰπόντι
differs and yourself indeed Lysitheus for-slander you-sued having-said
σε ἐρριφέναι τὴν ἀσπίδα. καίτοι περὶ μὲν τοῦ ῥῖψαι
you to-have-thrown-away the shield and-yet about indeed the to-throw-away
οὐδὲν ἐν τῷ νόμῳ εἴρηται, ἐὰν δέ τις εἴπῃ ἀποβεβληκέναι
nothing in the law has-been-said if but anyone says to-have-cast-off
τὴν ἀσπίδα, πεντακοσίας δραχμὰς ὀφείλειν κελεύει.
the shield five-hundred drachmas to-owe it-bids

13 Οὐκ οὖν δεινόν, εἰ ὅταν μὲν δέῃ σὲ κακῶς
not then terrible if when indeed it-is-needful you badly
ἀκούσαντα τοὺς ἐχθροὺς τιμωρεῖσθαι, οὕτω τοὺς νόμους
having-been-spoken-of the enemies to-punish so the laws
ὥσπερ ἐγὼ νῦν λαμβάνεις, ὅταν δ' ἕτερον παρὰ τοὺς
as I now you-take when but another against the
νόμους εἴπῃς κακῶς, οὐκ ἀξιοῖς δοῦναι δίκην; πότερον
laws you-speak-of badly not you-think-fit to-pay penalty whether
οὕτως σὺ δεινὸς εἶ ὥστε, ὅπως ἂν βούλῃ, οἷός τ' εἶ
so you clever are that how-ever — you-wish able — you-are
χρῆσθαι τοῖς νόμοις, ἢ τοσοῦτον δύνασαι ὥστε οὐδέποτε
to-use the laws or so-much you-have-power that never
οἴει τοὺς ἀδικουμένους ὑπὸ σοῦ τιμωρίας τεύξεσθαι;
you-think the(-men) wronged by you vengeance to-be-going-to-obtain

14 Εἶτ' οὐκ αἰσχύνει οὕτως ἀνοήτως διακείμενος, ὥστε οὐκ
then not are-you-ashamed so foolishly disposed that not
ἐξ ὧν εὖ πεποίηκας τὴν πόλιν, ἀλλ' ἐξ ὧν
from what(-things) well you-have-done the city but from what(-things)
ἀδικῶν οὐ δέδωκας δίκην, οἴει δεῖν πλεονεκτεῖν;
doing-wrong not you-have-paid penalty you-think it-is-needful to-have-the-advantage
Καί μοι ἀνάγνωθι τὸν νόμον.
and to-me read the law

ΝΟΜΟΣ.
law

Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, ὑμᾶς μὲν πάντας εἰδέναι 15
I then O men jurors you indeed all to-know
ἡγοῦμαι ὅτι ἐγὼ μὲν ὀρθῶς λέγω, τοῦτον δὲ οὕτω σκαιὸν
think that I indeed rightly speak this-man but so stupid
εἶναι ὥστε οὐ δύνασθαι μαθεῖν τὰ λεγόμενα. βούλομαι
to-be that not to-be-able to-learn the(-things) said I-wish
οὖν αὐτὸν καὶ ἐξ ἑτέρων νόμων περὶ τούτων διδάξαι,
then him also from other laws about these(-things) to-teach
ἄν πως ἀλλὰ νῦν ἐπὶ τοῦ βήματος παιδευθῇ καὶ
if somehow but now on the platform he-may-be-educated and
τὸ λοιπὸν ἡμῖν μὴ παρέχῃ πράγματα. Καί μοι ἀνάγνωθι
the rest to-us not may-cause trouble and to-me read
τούτους τοὺς νόμους τοὺς Σόλωνος τοὺς παλαιούς.
these the laws the of-Solon the old

ΝΟΜΟΣ.

law

II · SOLON'S OLD WORDS

The speaker reads Solon's laws whose words have since changed: the pillory, swearing by Apollo, running off for running away, shutting out a thief, placing money at interest, women who walk openly, and a servant's damage. The things stay the same while the words change, as Theomnestus must know. Theomnestus was acquitted of throwing away his shield, while Dionysius, who testified against him, lost his rights; the speaker's father was a general who often fought for Athens and was never condemned. To call such a man's son a parricide is the worst insult, and anger is no excuse, so the jurors should convict Theomnestus.

'Δεδέσθαι δ' ἐν τῇ ποδοκάκκῃ ἡμέρας πέντε τὸν πόδα, 16
to-be-bound and in the pillory days five the foot
ἐὰν προστιμήσῃ ἡ ἡλιαία.' ἡ ποδοκάκκη αὕτη ἐστίν, ὦ
if adds-the-penalty the Heliaea the pillory this is O

Θεόμνηστε, ὃ νῦν καλεῖται ἐν τῷ ξύλῳ δεδέσθαι. εἰ
Theomnestus what now is-called in the wood to-be-bound if
οὖν ὁ δεθεὶς ἐξελθὼν ἐν ταῖς εὐθύναις τῶν ἕνδεκα
then the(-man) bound having-come-out at the audits of-the Eleven
κατηγοροίη ὅτι οὐκ ἐν τῇ ποδοκάκκῃ ἐδέδετο ἀλλ' ἐν
should-accuse that not in the pillory he-was-bound but in
τῷ ξύλῳ, οὐκ ἂν ἠλίθιον αὐτὸν νομίζοιεν; Λέγε ἕτερον
the wood not — foolish him would-they-consider read another
νόμον.
law

ΝΟΜΟΣ.
law

17 'Ἐπεγγυᾶν δ' ἐπιορκήσαντα τὸν Ἀπόλλω. δεδιότα δὲ δίκης
to-give-surety and having-sworn-by — Apollo fearing and of-justice
ἕνεκα δρασκάζειν.' τοῦτο τὸ ἐπιορκήσαντα ὀμόσαντά
for-the-sake to-run-off this the having-sworn-by having-sworn
ἐστι, τὸ δὲ δρασκάζειν, ὃ νῦν ἀποδιδράσκειν ὀνομάζομεν.
is the and to-run-off what now to-run-away we-call
'ὅστις δὲ ἀπίλλει τῇ θύρᾳ, ἔνδον τοῦ κλέπτου ὄντος.'
whoever and shuts-out with-the door inside the thief being
τὸ ἀπίλλειν τοῦτο ἀποκλῄειν νομίζεται, καὶ μηδὲν διὰ
the to-shut-out this to-shut-out is-meant and nothing because-of
τοῦτο διαφέρου.
this differing

18 'Τὸ ἀργύριον στάσιμον εἶναι ἐφ' ὁπόσῳ ἂν βούληται ὁ
the money placed to-be at however-much — he-wishes the
δανείζων.' τὸ στάσιμον τοῦτό ἐστιν, ὦ βέλτιστε, οὐ ζυγῷ
lender the placed this is O best-one not on-the-scale
ἱστάναι ἀλλὰ τόκον πράττεσθαι ὁπόσον ἂν βούληται.
to-set but interest to-exact however-much — he-wishes
wished on the my ship to-sail went-aboard however many
λοιδοριῶν αὐτοῖς γενομένων Ἀρχέστρατος ὁ Φρεάρριος·
abuses among-them having-arisen Archestratus the of-Phrearrhii
ἀποθανόντος δὲ τούτου ἐν Μυτιλήνῃ Ἐρασινίδης μετ' ἐμοῦ
(him)-having-died and this(-man) in Mytilene Erasinides with me
συνέπλει. καίτοι οὕτω παρεσκευασμένην τριήρη πόσα
sailed-with and-yet so equipped a-trireme how-much
οἴεσθε ἀνηλωκέναι χρήματα; ἢ πόσα τοὺς πολεμίους
do-you-think to-have-spent money or how-many the enemies
εἰργάσθαι κακά; ἢ πόσα τὴν πόλιν εὖ πεποιηκέναι;
to-have-worked evils or how-much the city well to-have-done

9 Τεκμήριον δὲ τούτου μέγιστον· ὅτε γὰρ ἐν τῇ τελευταίᾳ
proof and of-this greatest when for in the last
ναυμαχίᾳ αἱ νῆες διεφθάρησαν, οὐδενός μοι συμπλέοντος
sea-battle the ships were-destroyed no with-me sailing
στρατηγοῦ (ἵνα καὶ τούτου μνησθῶ, ἐπειδὴ καὶ τοῖς
general so-that also this I-may-mention since also with-the
τριηράρχοις ὠργίσθητε διὰ τὴν γενομένην συμφοράν)
trierarchs you-were-angry because-of the having-happened disaster
ἐγὼ τήν τε ἐμαυτοῦ ναῦν ἐκόμισα καὶ τὴν Ναυσιμάχου
I the both my-own ship brought-home and the(-ship) of-Nausimachus
τοῦ Φαληρέως ἔσωσα.
the of-Phalerum saved

10 Καὶ ταῦτα οὐκ ἀπὸ τύχης ἐγένετο, ἀλλ' ἀπὸ παρασκευῆς
and these-things not from chance happened but from preparation
τῆς ἐμῆς· εἶχον γὰρ χρήμασι πείσας κυβερνήτην
the my I-had for with-money having-persuaded(-him) a-helmsman
Φαντίαν ἅπαντα τὸν χρόνον, ὃς ἐδόκει τῶν Ἑλλήνων
Phantias all the time who seemed of-the Greeks

ἄριστος εἶναι, παρεσκευασάμην δὲ καὶ τὸ πλήρωμα πρὸς
best to-be I-prepared and also the crew to-match
ἐκείνου καὶ τὴν ἄλλην ὑπηρεσίαν ἀκόλουθον. καὶ ταῦθ᾽
him and the other service accordant and these-things
ὅτι ἀληθῆ λέγω, πάντες ἐπίστασθε, ὅσοι ἐτυγχάνετε
that true I-speak all know as-many-as happened
ὄντες ἐκεῖ τῶν στρατιωτῶν. κάλεσον δὲ καὶ Ναυσίμαχον.
being there of-the soldiers call and also Nausimachus

ΜΑΡΤΥΡΙΑ.

testimony

Αἱ μὲν τοίνυν σωθεῖσαι τῶν νεῶν δώδεκα ἦσαν· ἐγὼ 11
the indeed then saved of-the ships twelve were I
δ᾽ ὑμῖν δύο ἐκόμισα, τὴν ἐμαυτοῦ καὶ τὴν Ναυσιμάχου
but to-you two brought-home the(-ship) my-own and the of-Nausimachus
τριήρη. καὶ οὕτως πολλοὺς κινδύνους ὑπὲρ ὑμῶν
trireme and so many dangers on-behalf-of you
κεκινδυνευκὼς καὶ τοσαῦτα ἀγαθὰ εἰργασμένος τὴν
having-run and so-many good(-things) having-worked-for the
πόλιν, νυνὶ δέομαι οὐ δωρεὰν ὥσπερ ἕτεροι ἀντὶ
city now I-ask not a-gift as others in-return-for
τούτων παρ᾽ ὑμῶν λαβεῖν, ἀλλὰ μὴ στερηθῆναι τῶν
these(-things) from you to-receive but not to-be-deprived of-the
ἐμαυτοῦ, ἡγούμενος καὶ ὑμῖν αἰσχρὸν εἶναι παρά τε
my-own(-goods) thinking also for-you shameful to-be from both
ἑκόντος ἐμοῦ καὶ παρ᾽ ἄκοντος λαμβάνειν.
willing me and from(-me) unwilling to-take
Καὶ οὐ τοσοῦτόν μοι μέλει εἴ με δεῖ τὰ ὄντα 12
and not so-much to-me it-matters if me it-is-necessary the possessions
ἀπολέσαι· ἀλλ᾽ οὐκ ἂν δεξαίμην ὑβρισθῆναι, οὐδὲ
to-lose but not — I-would-accept to-be-outraged nor
παραστῆναι τοῖς διαδυομένοις τὰς λῃτουργίας ἐμοὶ μὲν
to-occur-to the(-men) slipping-out-of the liturgies for-me indeed

ἀχάριστα εἶναι τὰ εἰς ὑμᾶς ἀνηλωμένα, ἐκείνους δὲ
thankless to-be the(-things) on you spent them but
δοκεῖν ὀρθῶς βεβουλεῦσθαι ὅτι ὑμῖν οὐδὲν προεῖνται τῶν
to-seem rightly to-have-deliberated because to-you nothing they-have-given-up of-the
σφετέρων αὐτῶν. ἂν οὖν ἐμοὶ πεισθῆτε, τά τε δίκαια
their- -own if then me you-obey the(-things) both just
ψηφιεῖσθε καὶ τὰ λυσιτελοῦντα ὑμῖν αὐτοῖς αἱρήσεσθε.
you-will-vote and the(-things) profitable for-your- -selves you-will-choose

13 Ὁρᾶτε γάρ, ὦ ἄνδρες δικασταί, τὰ προσιόντα τῇ πόλει
you-see for O men jurors the coming-in(-revenues) to-the city
ὡς ὀλίγα ἐστί, καὶ ταῦτα ὡς ὑπὸ τῶν ἐφεστηκότων
how few are and these how by the(-men) set-over(-them)
ἁρπάζεται· ὥστ᾽ ἄξιον ταύτην ἡγεῖσθαι πρόσοδον
are-plundered so-that worthy(-is-it) this to-think revenue
βεβαιοτάτην τῇ πόλει, τὰς οὐσίας τῶν ἐθελόντων
surest for-the city the properties of-the(-men) willing
λητουργεῖν. ἂν οὖν εὖ βουλεύσησθε, οὐδὲν ἧττον
to-perform-liturgies if then well you-deliberate in-nothing less
ἐπιμελήσεσθε τῶν ἡμετέρων χρημάτων ἢ τῶν ἰδίων
you-will-care-for the our money than for-the private(-money)
τῶν ὑμετέρων αὐτῶν,
the your- -own

14 εἰδότες ὅτι ἔξετε πᾶσι χρῆσθαι τοῖς ἡμετέροις ὥσπερ
knowing that you-will-be-able all to-use the our(-goods) just-as
καὶ πρότερον· οἶμαι δὲ πάντας ὑμᾶς ἐπίστασθαι ὅτι τῶν
also before I-think and all you to-know that of-the
ἐμῶν ἐγὼ πολὺ βελτίων ὑμῖν ἔσομαι ταμίας τῶν
my(-goods) I much better for-you I-will-be steward than-the(-men)
τὰ τῆς πόλεως ὑμῖν ταμιευόντων. ἐὰν δ᾽ ἐμὲ πένητα
the(-things) of-the city for-you managing if but me poor

ποιήσητε, καὶ ὑμᾶς αὐτοὺς ἀδικήσετε· ἕτεροι γὰρ καὶ
you-make also your- -selves you-will-wrong others for also
ταῦτα διανεμοῦνται, ὥσπερ καὶ τἆλλα.
these-things will-share-out just-as also the-rest

II · A PLEA FOR HIS PROPERTY

The jurors should rather give than take from such a man, and pity him poor rather than envy him rich. He spends little on himself and much on the city, and is proud of what he has spent on the people, not of what remains. He never profited from office or was involved in a shameful suit. His accusers are men themselves on trial for impiety. He would be mad to take bribes against the city while spending his own wealth on it, and he never feared leaving his children poorer.

Ἄξιον δέ ἐστιν ἐνθυμηθῆναι ὅτι πολὺ μᾶλλον ὑμῖν 15
worthy and it-is to-consider that much more for-you
προσήκει τῶν ὑμετέρων ἐμοὶ διδόναι ἢ τῶν ἐμῶν ἐμοὶ
it-befits of-the your(-goods) to-me to-give than of-the my(-goods) with-me
ἀμφισβητῆσαι, καὶ πένητα γενόμενον ἐλεῆσαι μᾶλλον
to-dispute and poor having-become to-pity(-me) rather
ἢ πλουτοῦντι φθονῆσαι, καὶ τοῖς θεοῖς εὔχεσθαι τοὺς
than being-rich to-envy(-me) and to-the gods to-pray the
ἄλλους εἶναι τοιούτους πολίτας, ἵνα τῶν μὲν ὑμετέρων
others to-be such citizens so-that the indeed your(-goods)
μὴ ἐπιθυμήσωσι, τὰ δὲ σφέτερα αὐτῶν εἰς ὑμᾶς
not they-may-desire the(-goods) but their- -own on you
ἀναλίσκωσιν.
they-may-spend
Ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί (καὶ μηδεὶς ὑμῶν 16
I-think and O men jurors and let-no-one of-you
ἀχθεσθῇ), πολὺ ἂν δικαιότερον ὑμᾶς ὑπὸ τῶν ζητητῶν
be-annoyed much — more-justly you by the investigators

ἀπογραφῆναι τὰ ἐμὰ ἔχειν ἢ ἐμὲ νυνὶ κινδυνεύειν ὡς
to-be-listed the my(-goods) to-have than me now to-be-in-danger as
τοῦ δημοσίου χρήματα ἔχοντα. τοιοῦτον γὰρ ἐμαυτὸν τῇ
of-the treasury money having such for myself to-the
πόλει παρέχω, ὥστε ἰδίᾳ μὲν †τῶν φείδομαι, δημοσίᾳ
city I-show that privately indeed of-the(-things) I-am-sparing publicly
δὲ λῃτουργῶν ἥδομαι, καὶ οὐκ ἐπὶ τοῖς περιοῦσι μέγα
but performing-liturgies I-am-glad and not in the(-things) remaining greatly
φρονῶ, ἀλλ' ἐπὶ τοῖς εἰς ὑμᾶς ἀνηλωμένοις,
I-pride-myself but in the(-things) on you spent
17 ἡγούμενος τούτων μὲν αὐτὸς αἴτιος εἶναι, τὴν δ'
thinking of-these(-things) indeed myself cause to-be the but
οὐσίαν ἑτέρους μοι καταλιπεῖν, καὶ διὰ ταύτην μὲν
property others for-me to-have-left and because-of this indeed
ὑπὸ τῶν ἐχθρῶν ἀδίκως συκοφαντεῖσθαι, δι' ἐκεῖνα
by the enemies unjustly to-be-blackmailed because-of those(-things)
δὲ ὑφ' ὑμῶν δικαίως σῴζεσθαι. ὥστ' οὐκ ἂν εἰκότως
but by you justly to-be-saved so-that not — reasonably
ἕτεροί με ἐξαιτήσαιντο παρ' ὑμῶν, ἀλλὰ καὶ εἴ τις
others me would-beg-off from you but even if anyone
τῶν ἐμῶν φίλων τοιοῦτον ἀγῶνα ἠγωνίζετο, ὑμᾶς ἂν
of-the my friends such a-trial were-contesting you —
ἠξίουν ἐμοὶ δοῦναι τὴν χάριν, καὶ εἰ παρ' ἄλλοις
I-would-think-it-right to-me to-give the favor and if before others
ἐκινδύνευον, ὑμᾶς εἶναι τοὺς δεομένους ὑπὲρ ἐμοῦ.
I-were-on-trial you to-be the(-men) pleading on-behalf-of me
18 Οὐ γὰρ ἂν τοῦτό γε εἰπεῖν ἔχοι τις, ὡς πολλὰς ἀρχὰς
not for — this at-least to-say could anyone that many offices
ἄρξας ἐκ τῶν ὑμετέρων ὠφέλημαι, ἢ ὡς αἰσχρὰς δίκας
having-held from the your(-goods) I-have-profited or that shameful suits
δεδίκασμαι, ἢ ὡς αἰσχροῦ τινος αἴτιός εἰμι, ἢ ὡς τὰς
I-have-brought or that of-shameful anything cause I-am or that the

τῆς πόλεως συμφορὰς ἀσμένως εἶδον· ὑπὲρ ἁπάντων δὲ
of-the city misfortunes gladly I-saw about all and
καὶ τῶν ἰδίων καὶ τῶν δημοσίων οὕτως ἡγοῦμαί
both the private(-matters) and the public(-matters) so I-think
μοι πεπολιτεῦσθαι καὶ ὑμᾶς εἰδέναι, ὥστε οὐδὲν δεῖν
for-me to-have-conducted-myself and you to-know that nothing to-need
με ἀπολογήσασθαι περὶ αὐτῶν.
me to-defend-myself about them

Δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, τὴν αὐτὴν νῦν περὶ 19
I-beg then you O men jurors the same now about
ἐμοῦ γνώμην ἔχειν ἥνπερ καὶ ἐν τῷ τέως, καὶ μὴ
me opinion to-have which-very also in the before(-time) and not
μόνον τῶν δημοσίων λῃτουργιῶν μεμνῆσθαι, ἀλλὰ τῶν
only the public liturgies to-remember but the
ἰδίων ἐπιτηδευμάτων ἐνθυμεῖσθαι, ἡγουμένους ταύτην εἶναι
private habits to-consider thinking this to-be
λῃτουργίαν ἐπιπονωτάτην, διὰ τέλους τὸν πάντα χρόνον
liturgy most-laborious through to-the-end the whole time
κόσμιον εἶναι καὶ σώφρονα καὶ μήθ' ὑφ' ἡδονῆς ἡττηθῆναι
orderly to-be and temperate and neither by pleasure to-be-overcome
μήθ' ὑπὸ κέρδους ἐπαρθῆναι, ἀλλὰ τοιοῦτον παρασχεῖν
nor by gain to-be-elated but such to-show
ἑαυτὸν ὥστε μηδένα τῶν πολιτῶν μήτε μέμψασθαι μήτε
oneself that no-one of-the citizens either to-blame or
δίκην τολμῆσαι προσκαλέσασθαι.
a-suit to-dare to-summon(-him-to)

Οὔκουν ἄξιον, ὦ ἄνδρες δικασταί, πειθομένους κατηγόροις 20
not-then worthy(-is-it) O men jurors obeying accusers
τοιούτοις ἐμοῦ καταψηφίσασθαι, οἳ περὶ ἀσεβείας μὲν
such me to-condemn who about impiety indeed
ἀγωνιζόμενοι τηλικοῦτοι γεγόνασιν, οὐκ ἂν δυνάμενοι
contending so-great have-become not — being-able

δ' ὑπὲρ τῶν σφετέρων ἁμαρτημάτων ἀπολογήσασθαι
but on-behalf-of the their-own offenses to-defend-themselves
ἑτέρων κατηγορεῖν τολμῶσι. καὶ ὧν Κινησίας οὕτω
others to-accuse dare and than-whom Cinesias so
διακείμενος πλείους στρατείας ἐστράτευται, οὗτοι περὶ
disposed more campaigns has-served these(-men) about
τῶν τῆς πόλεως ἀγανακτοῦσι. καὶ ἐξ ὧν μὲν ἡ
the(-affairs) of-the city are-indignant and from what(-things) indeed the
πόλις εὐδαίμων ἔσται, οὐ συμβάλλονται, πάντα δὲ ποιοῦσιν
city prosperous will-be not they-contribute all(-things) but they-do
ὅπως ὑμεῖς τοῖς εὖ πεποιηκόσιν ὀργισθήσεσθε.
so-that you with-the(-men) well having-treated(-you) will-be-angry

21 Οὗτοι μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐν τῷ δήμῳ
these(-men) indeed then O men jurors in the assembly
κατείποιεν ὑμῖν τὰ σφέτερ' αὐτῶν ἐπιτηδεύματα· οὐ γὰρ
may-they-denounce to-you the their- -own habits not for
ἂν ἔχοιμι ὅ τι τούτου μεῖζον αὐτοῖς εὐξαίμην κακόν· ἐγὼ
— I-could what ever than-this greater for-them I-might-pray evil I
δ' ὑμῶν δέομαι καὶ ἱκετεύω καὶ ἀντιβολῶ μὴ καταγνῶναι
but you beg and supplicate and entreat not to-condemn
δωροδοκίαν ἐμοῦ, μηδ' ἡγήσασθαι τοσαῦτα χρήματα εἶναι,
bribery of-me nor to-think so-much money to-be
δι' ἃ ἐγὼ βουληθείην ἄν τι κακὸν τῇ πόλει γενέσθαι.
because-of which I would-wish — some evil to-the city to-happen

22 Μαινοίμην γὰρ ἄν, ὦ ἄνδρες δικασταί, εἰ τὴν μὲν
I-would-be-mad for — O men jurors if the indeed
πατρῴαν οὐσίαν φιλοτιμούμενος εἰς ὑμᾶς ἀναλίσκοιμι, ἐπὶ
paternal property being-ambitious on you I-were-spending for
δὲ τῷ τῆς πόλεως κακῷ παρὰ τῶν ἄλλων δωροδοκοίην.
but the of-the city harm from the others I-were-taking-bribes
ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταί, οὐκ οἶδ' ἂν οὕστινας
I indeed then O men jurors not I-know — whom

ἢ ὑμᾶς ἐβουλήθην περὶ ἐμοῦ δικαστὰς γενέσθαι, εἴπερ
than you I-would-have-wished about me judges to-be if-indeed
χρὴ τοὺς εὖ πεπονθότας περὶ τῶν εὖ πεποιηκότων
one-must the(-men) well having-been-treated about the(-men) well having-treated(-them)
εὔχεσθαι τὴν ψῆφον φέρειν.
to-pray(-they-may) the vote to-cast

Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί (ἐπιθυμῶ γὰρ καὶ 23
and indeed indeed O men jurors I-desire for also
τούτων μνησθῆναι) οὐδεπώποτε λῃτουργεῖν ὑπὲρ
these(-things) to-mention never to-perform-liturgies on-behalf-of
ὑμῶν δέον ἐνενόουν, εἰ τοσοῦτον πενεστέρους τοὺς
you being-necessary did-I-consider whether so-much poorer the
παῖδας καταλείψω, ἀλλὰ πολὺ μᾶλλον εἰ μὴ προθύμως
children I-will-leave but much rather whether not eagerly
ποιήσω τὰ προσταχθέντα·
I-will-do the(-things) ordered

οὐδ' εἴ ποτε κινδυνεύσειν ἐν ταῖς ναυμαχίαις μέλλοιμι, 24
nor if ever to-be-in-danger in the sea-battles I-was-about
οὐδεπώποτ' ἠλέησα οὐδ' ἐδάκρυσα οὐδ' ἐμνήσθην
never did-I-pity(-myself) nor wept nor mentioned
γυναικὸς οὐδὲ παίδων τῶν ἐμαυτοῦ, οὐδ' ἡγούμην δεινὸν
wife nor children the my-own nor did-I-think terrible
εἶναι εἰ τελευτήσας ὑπὲρ τῆς πατρίδος τὸν βίον
to-be if having-ended on-behalf-of the fatherland the life
ὀρφανοὺς καὶ πατρὸς ἀπεστερημένους αὐτοὺς καταλείψω,
orphans and of-a-father deprived them I-will-leave
ἀλλὰ πολὺ μᾶλλον εἰ σωθεὶς αἰσχρῶς ὀνείδη καὶ ἐμαυτῷ
but much rather if saved shamefully reproaches both on-myself
καὶ ἐκείνοις περιάψω.
and on-them I-will-fasten

25 Ἀνθ’ ὧν ὑμᾶς ἀπαιτῶ νῦν τὴν χάριν, καὶ ἀξιῶ,
in-return-for which(-things) of-you I-ask now the favor and I-think-it-right
ἐν τοῖς κινδύνοις ἐμοῦ τοιαύτην περὶ ὑμῶν γνώμην ἔχοντος,
in the dangers me such about you opinion having
ὑμᾶς νυνὶ ἐν τῷ θαρραλέῳ ὄντας ἐμὲ καὶ τοὺς παῖδας τούτους
you now in the confidence being me and the children these
περὶ πολλοῦ ποιήσασθαι, ἡγουμένους ἡμῖν μὲν δεινὸν ὑμῖν
of much to-make thinking for-us indeed terrible for-you
δὲ αἰσχρὸν εἶναι, εἰ ἀναγκασθησόμεθα ἐπὶ τοιαύταις αἰτίαις
but shameful to-be if we-will-be-compelled on such charges
ἄτιμοι γενέσθαι, ἢ στερηθέντες τῶν ὑπαρχόντων πένητες
disfranchised to-become or deprived of-the possessions poor
εἶναι καὶ πολλῶν ἐνδεεῖς ὄντες περιέναι, ἀνάξια μὲν ἡμῶν
to-be and of-many in-need being to-go-about unworthy indeed of-us
αὐτῶν πεπονθότες, ἀνάξια δὲ τῶν εἰς ὑμᾶς ὑπηργμένων.
ourselves having-suffered unworthy and of-the(-things) for you done-before
μηδαμῶς, ὦ ἄνδρες δικασταί· ἀλλ’ ἀποψηφισάμενοι τοιούτοις
by-no-means O men jurors but having-acquitted(-us) such
ἡμῖν χρῆσθε πολίταις οἵοισπερ ἐν τῷ πρόσθεν χρόνῳ.
us use as-citizens as-very in the former time

LYSIAS

ΚΑΤΑ ΤΩΝ ΣΙΤΟΠΩΛΩΝ

Against the Grain Dealers

The speaker explains why he prosecutes the grain dealers: when orators urged the council to hand them to the Eleven untried, he insisted on a lawful trial, and, slandered as their protector, he became their accuser. A dealer admits buying up more than fifty baskets but claims the magistrates told him to; Anytus testifies that he advised them only to stop bidding against one another. The dealers sometimes raise the price by a drachma in a single day, invent bad news, and profit from the city's misfortunes as its enemies do. The jurors must convict them, or they will seem to plot against the importers.

Πολλοί μοι προσεληλύθασιν, ὦ ἄνδρες δικασταί, θαυμάζοντες 1
many to-me have-come O men jurors wondering
ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ βουλῇ κατηγόρουν, καὶ
that I the grain-dealers in the council accused and
λέγοντες ὅτι ὑμεῖς, εἰ ὡς μάλιστα αὐτοὺς ἀδικεῖν
saying that you even-if as most them to-do-wrong
ἡγεῖσθε, οὐδὲν ἧττον καὶ τοὺς περὶ τούτων ποιουμένους
think nothing less also the(-men) about these(-men) making
τοὺς λόγους συκοφαντεῖν νομίζετε. ὅθεν οὖν ἠνάγκασμαι
the speeches to-be-informers you-consider whence then I-have-been-compelled
κατηγορεῖν αὐτῶν, περὶ τούτων πρῶτον εἰπεῖν βούλομαι.
to-accuse them about these(-things) first to-speak I-wish
Ἐπειδὴ γὰρ οἱ πρυτάνεις ἀπέδοσαν εἰς τὴν βουλὴν περὶ 2
when for the prytaneis referred to the council about
αὐτῶν, οὕτως ὠργίσθησαν αὐτοῖς, ὥστε ἔλεγόν τινες τῶν
them so they-were-angry with-them that said some of-the
ῥητόρων ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι
orators that untried them one-must to-the Eleven to-hand-over
θανάτῳ ζημιῶσαι. ἡγούμενος δὲ ἐγὼ δεινὸν εἶναι τοιαῦτα
with-death to-punish thinking but I terrible to-be such(-things)
ἐθίζεσθαι ποιεῖν τὴν βουλήν, ἀναστὰς εἶπον ὅτι μοι
to-be-accustomed to-do the council having-stood-up I-said that to-me

δοκοίη κρίνειν τοὺς σιτοπώλας κατὰ τὸν νόμον,
it-seemed-good to-try the grain-dealers according-to the law
νομίζων, εἰ μέν εἰσιν ἄξια θανάτου εἰργασμένοι, ὑμᾶς
thinking if indeed they-are worthy(-deeds) of-death having-done you
οὐδὲν ἧττον ἡμῶν γνώσεσθαι τὰ δίκαια, εἰ δὲ μηδὲν
in-nothing less than-us to-be-going-to-recognize the just(-things) if but nothing
ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς ἀκρίτους ἀπολωλέναι.
they-do-wrong not to-be-necessary them untried to-have-perished

3 Πεισθείσης δὲ τῆς βουλῆς ταῦτα, διαβάλλειν ἐπεχείρουν
having-been-persuaded and the council these-things to-slander tried
με λέγοντες ὡς ἐγὼ σωτηρίας ἕνεκα τῆς τῶν σιτοπωλῶν
me saying that I of-safety for-the-sake the of-the grain-dealers
τοὺς λόγους τούτους ἐποιούμην. πρὸς μὲν οὖν τὴν βουλήν,
the speeches these was-making before indeed then the council
ὅτ' ἦν αὐτοῖς ἡ κρίσις, ἔργῳ ἀπελογησάμην· τῶν γὰρ
when there-was for-them the trial in-deed I-defended-myself the for
ἄλλων ἡσυχίαν ἀγόντων ἀναστὰς αὐτῶν κατηγόρουν, καὶ
others quiet keeping having-stood-up them I-accused and
πᾶσι φανερὸν ἐποίησα ὅτι οὐχ ὑπὲρ τούτων ἔλεγον,
to-all clear made that not on-behalf-of these(-men) I-was-speaking
ἀλλὰ τοῖς νόμοις τοῖς κειμένοις ἐβοήθουν.
but the laws the established I-was-helping

4 Ἠρξάμην μὲν οὖν τούτων ἕνεκα, δεδιὼς τὰς αἰτίας·
I-began indeed then of-these(-things) for-the-sake fearing the charges
αἰσχρὸν δ' ἡγοῦμαι πρότερον παύσασθαι, πρὶν ἂν ὑμεῖς
shameful but I-think before to-stop before — you
περὶ αὐτῶν ὅ τι ἂν βούλησθε ψηφίσησθε.
about them what ever — you-wish vote

5 Καὶ πρῶτον μὲν ἀνάβητε. εἰπὲ σὺ ἐμοί, μέτοικος εἶ; Ναί.
and first indeed come-up tell you me resident-alien are-you yes
Μετοικεῖς δὲ πότερον ὡς πεισόμενος τοῖς νόμοις τοῖς
you-reside-as-an-alien and whether as going-to-obey the laws the

τῆς πόλεως, ἢ ὡς ποιήσων ὅ τι ἂν βούλῃ; Ὡς πεισόμενος.
of-the city or as going-to-do what ever — you-wish as going-to-obey
Ἄλλο τι οὖν ἢ ἀξιοῖς ἀποθανεῖν, εἴ τι
other anything then than you-think-it-right to-die if anything
πεποίηκας παρὰ τοὺς νόμους, ἐφ' οἷς θάνατος ἡ ζημία;
you-have-done against the laws for which death the penalty(-is)
Ἔγωγε. Ἀπόκριναί δή μοι, εἰ ὁμολογεῖς πλείω σῖτον
I-do answer indeed me whether you-agree more grain
συμπρίασθαι πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι
to-have-bought-up than-fifty baskets which the law to-be-allowed
κελεύει. Ἐγὼ τῶν ἀρχόντων κελευόντων συνεπριάμην.
bids I the magistrates bidding(-me) bought-up(-grain)
Ἂν μὲν τοίνυν ἀποδείξῃ, ὦ ἄνδρες δικασταί, ὡς ἔστι 6
if indeed then he-shows O men jurors that there-is
νόμος ὃς κελεύει τοὺς σιτοπώλας συνωνεῖσθαι τὸν σῖτον,
a-law which bids the grain-dealers to-buy-up the grain
ἂν οἱ ἄρχοντες κελεύωσιν, ἀποψηφίσασθε· εἰ δὲ μή, δίκαιον
if the magistrates bid acquit(-him) if but not just(-is-it)
ὑμᾶς καταψηφίσασθαι. ἡμεῖς γὰρ ὑμῖν παρεσχόμεθα τὸν
you to-condemn(-him) we for to-you presented the
νόμον, ὃς ἀπαγορεύει μηδένα τῶν ἐν τῇ πόλει πλείω
law which forbids anyone of-the(-men) in the city more
σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι.
grain than-fifty baskets to-buy-up
Χρῆν μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἱκανὴν 7
it-would-have-been-necessary indeed then O men jurors sufficient
εἶναι ταύτην τὴν κατηγορίαν, ἐπειδὴ οὗτος μὲν ὁμολογεῖ
to-be this the accusation since this(-man) indeed admits
συμπρίασθαι, ὁ δὲ νόμος ἀπαγορεύων φαίνεται, ὑμεῖς δὲ
to-have-bought-up the but law forbidding(-it) is-shown you and
κατὰ τοὺς νόμους ὀμωμόκατε ψηφιεῖσθαι· ὅμως δ'
according-to the laws have-sworn to-vote nevertheless but

ἵνα πεισθῆτε ὅτι καὶ κατὰ τῶν ἀρχόντων ψεύδονται,
so-that you-may-be-persuaded that also against the magistrates they-lie
ἀνάγκη καὶ μακρότερον εἰπεῖν περὶ αὐτῶν.
necessity(-it-is) also at-greater-length to-speak about them

8 Ἐπειδὴ γὰρ οὗτοι τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον,
when for these(-men) the blame onto them referred
παρακαλέσαντες τοὺς ἄρχοντας ἠρωτῶμεν. καὶ οἱ
having-summoned the magistrates we-asked(-them) and the(-ones)
μὲν δύο οὐδὲν ἔφασαν εἰδέναι τοῦ πράγματος, Ἄνυτος
indeed two nothing said to-know of-the matter Anytus
δ' ἔλεγεν ὡς τοῦ προτέρου χειμῶνος, ἐπειδὴ τίμιος ἦν
but said that the previous winter when dear was
ὁ σῖτος, τούτων ὑπερβαλλόντων ἀλλήλους καὶ πρὸς
the grain these(-men) outbidding one-another and against
σφᾶς αὐτοὺς μαχομένων συμβουλεύσειεν αὐτοῖς παύσασθαι
them- -selves fighting he-advised them to-stop
φιλονικοῦσιν, ἡγούμενος συμφέρειν ὑμῖν τοῖς παρὰ
competing thinking to-be-advantageous for-you the(-men) from
τούτων ὠνουμένοις ὡς ἀξιώτατον τούτους πρίασθαι·
these(-men) buying as cheapest these(-men) to-buy
δεῖν γὰρ αὐτοὺς ὀβολῷ μόνον πωλεῖν τιμιώτερον.
it-was-necessary for them by-an-obol only to-sell dearer

9 Ὡς τοίνυν οὐ συμπριαμένους καταθέσθαι ἐκέλευεν αὐτούς,
that then not buying-up to-store(-it) he-bid them
ἀλλὰ μὴ ἀλλήλοις ἀντωνεῖσθαι συνεβούλευεν, αὐτὸν
but not against-one-another to-bid he-advised himself
ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι.
to-you Anytus as-witness I-will-present

MARTYRIA.
testimony

Καὶ οὗτος μὲν ἐπὶ τῆς προτέρας βουλῆς τούτους
and this(-man) indeed in-the-time-of the previous council these
εἶπε τοὺς λόγους, οὗτοι δ' ἐπὶ τῆσδε συνωνούμενοι
spoke the words these(-men) but in-the-time-of this(-one) buying-up
φαίνονται.
are-shown

Ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευσθέντες 10
that indeed then not by the magistrates having-been-bidden
συνεπρίαντο τὸν σῖτον, ἀκηκόατε· ἡγοῦμαι δ', ἐὰν ὡς
they-bought-up the grain you-have-heard I-think and if as
μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ
most about these(-things) true(-things) they-speak not on-behalf-of
αὐτῶν αὐτοὺς ἀπολογήσεσθαι, ἀλλὰ τούτων κατηγορήσειν·
themselves them to-be-going-to-defend but these(-men) to-be-going-to-accuse
περὶ γὰρ ὧν εἰσι νόμοι διαρρήδην γεγραμμένοι,
about for which(-things) there-are laws expressly written
πῶς οὐ χρὴ διδόναι δίκην καὶ τοὺς μὴ πειθομένους
how not must-one to-pay penalty both the(-men) not obeying
καὶ τοὺς κελεύοντας τούτοις τἀναντία πράττειν;
and the(-men) bidding these(-men) the-opposite to-do

Ἀλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οἴομαι αὐτοὺς ἐπὶ μὲν 11
but for O men jurors I-think them to indeed
τοῦτον τὸν λόγον οὐκ ἐλεύσεσθαι· ἴσως δ' ἐροῦσιν, ὥσπερ
this the argument not to-be-going-to-come perhaps but they-will-say just-as
καὶ ἐν τῇ βουλῇ, ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο
also in the council that from goodwill for-the city they-were-buying-up
τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ὑμῖν πωλοῖεν. μέγιστον δ'
the grain so-that as cheapest to-you they-might-sell greatest and
ὑμῖν ἐρῶ καὶ περιφανέστατον τεκμήριον ὅτι ψεύδονται·
to-you I-will-tell and most-manifest proof that they-lie

12 ἐχρῆν γὰρ αὐτούς, εἴπερ ὑμῶν ἕνεκα ἔπραττον
it-was-needful for them if-indeed of-you for-the-sake they-were-doing
ταῦτα, φαίνεσθαι τῆς αὐτῆς τιμῆς πολλὰς ἡμέρας
these-things to-be-seen at-the same price many days
πωλοῦντας, ἕως ὁ συνεωνημένος αὐτοὺς ἐπέλιπε· νῦν
selling until the(-grain) having-been-bought-up them failed now
δ' ἐνίοτε τῆς αὐτῆς ἡμέρας ἐπώλουν δραχμῇ τιμιώτερον,
but sometimes the same day they-sold by-a-drachma dearer
ὥσπερ κατὰ μέδιμνον συνωνούμενοι. καὶ τούτων ὑμᾶς
as-if by the-medimnus buying-up and of-these(-things) you
μάρτυρας παρέχομαι.
witnesses I-present

13 Δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ ὅταν μὲν εἰσφορὰν
terrible and to-me seems to-be if whenever indeed a-property-tax
εἰσενεγκεῖν δέῃ, ἣν πάντες εἴσεσθαι μέλλουσιν, οὐκ
to-contribute it-is-necessary which all to-know are-about not
ἐθέλουσιν ἀλλὰ πενίαν προφασίζονται, ἐφ' οἷς δὲ
they-are-willing but poverty they-plead for which(-things) but
θάνατός ἐστιν ἡ ζημία καὶ λαθεῖν αὐτοῖς συνέφερε,
death is the penalty and to-escape-notice for-them it-was-advantageous
ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. καίτοι
these-things from goodwill they-say the your to-have-broken-the-law and-yet
πάντες ἐπίστασθε ὅτι τούτοις ἥκιστα προσήκει τοιούτους
all know that to-these(-men) least it-befits such
ποιεῖσθαι λόγους. τἀναντία γὰρ αὐτοῖς καὶ τοῖς ἄλλοις
to-make speeches the-opposite for to-them and to-the others
συμφέρει· τότε γὰρ πλεῖστα κερδαίνουσιν, ὅταν κακοῦ
is-advantageous then for most they-profit whenever evil
τινος ἀπαγγελθέντος τῇ πόλει τίμιον τὸν σῖτον πωλῶσιν.
some having-been-reported to-the city dear the grain they-sell

Οὕτω δ' ἄσμενοι τὰς συμφορὰς τὰς ὑμετέρας ὁρῶσιν, ὥστε 14
so and gladly the disasters the your they-see that
τὰς μὲν πρότεροι τῶν ἄλλων πυνθάνονται, τὰς
the(-ones) indeed sooner than-the others they-learn the(-others)
δ' αὐτοὶ λογοποιοῦσιν, ἢ τὰς ναῦς διεφθάρθαι
and themselves they-invent either the ships to-have-been-destroyed
τὰς ἐν τῷ Πόντῳ ἢ ὑπὸ Λακεδαιμονίων ἐκπλεούσας
the(-ones) in the Pontus or by Lacedaemonians sailing-out
συνειλῆφθαι, ἢ τὰ ἐμπόρια κεκλῆσθαι, ἢ τὰς σπονδὰς
to-have-been-captured or the markets to-have-been-closed or the truce
μέλλειν ἀπορρηθήσεσθαι, καὶ εἰς τοῦτ' ἔχθρας ἐληλύθασιν,
to-be-about to-be-renounced and to this of-enmity they-have-come
ὥστ' ἐν τοῖς αὐτοῖς καιροῖς ἐπιβουλεύουσιν ὑμῖν, ἐν οἷσπερ 15
that at the same times they-plot-against you at which-very
οἱ πολέμιοι. ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμενοι,
the enemies whenever for most of-grain you-happen needing
συναρπάζουσιν οὗτοι καὶ οὐκ ἐθέλουσι πωλεῖν, ἵνα
they-snatch-it-up these(-men) and not are-willing to-sell so-that
μὴ περὶ τῆς τιμῆς διαφερώμεθα, ἀλλ' ἀγαπῶμεν ἂν
not about the price we-may-dispute but we-may-be-content if
ὁποσουτινοσοῦν πριάμενοι παρ' αὐτῶν ἀπέλθωμεν. ὥστ'
at-whatever-price having-bought from them we-may-go-away so-that
ἐνίοτε εἰρήνης οὔσης ὑπὸ τούτων πολιορκούμεθα.
sometimes peace being by these(-men) we-are-besieged
Οὕτω δὲ πάλαι περὶ τῆς τούτων πανουργίας καὶ 16
so and long-ago about the of-these(-men) villainy and
κακονοίας ἡ πόλις ἔγνωκεν, ὥστ' ἐπὶ μὲν τοῖς ἄλλοις
malice the city has-recognized that over indeed the other
ὠνίοις ἅπασι τοὺς ἀγορανόμους φύλακας κατεστήσατε, ἐπὶ
wares all the market-overseers as-guards you-established over
δὲ ταύτῃ μόνῃ τῇ τέχνῃ χωρὶς σιτοφύλακας ἀποκληροῦτε·
but this alone the trade separately grain-guardians you-appoint-by-lot

καὶ πολλάκις ἤδη παρ᾽ ἐκείνων πολιτῶν ὄντων δίκην
and often already from them citizens being penalty
τὴν μεγίστην ἐλάβετε, ὅτι οὐχ οἷοί τ᾽ ἦσαν τῆς
the greatest you-exacted because not able — they-were the
τούτων πονηρίας ἐπικρατῆσαι. καίτοι τί χρὴ αὐτοὺς
of-these(-men) wickedness to-master and-yet what must-one them
τοὺς ἀδικοῦντας ὑφ᾽ ὑμῶν πάσχειν, ὁπότε καὶ τοὺς
the(-men) doing-wrong by you to-suffer when even the(-men)
οὐ δυναμένους φυλάττειν ἀποκτείνετε;
not able to-guard(-against-them) you-put-to-death

17 Ἐνθυμεῖσθαι δὲ χρὴ ὅτι ἀδύνατον ὑμῖν ἐστιν
to-consider and one-must that impossible for-you it-is
ἀποψηφίσασθαι. εἰ γὰρ ἀπογνώσεσθε ὁμολογούντων αὐτῶν
to-acquit(-them) if for you-will-acquit(-them) admitting them
ἐπὶ τοὺς ἐμπόρους συνίστασθαι, δόξεθ᾽ ὑμεῖς ἐπιβουλεύειν
against the merchants to-combine you-will-seem you to-plot-against
τοῖς εἰσπλέουσιν. εἰ μὲν γὰρ ἄλλην τινὰ ἀπολογίαν
the(-men) sailing-in if indeed for other some defense
ἐποιοῦντο, οὐδεὶς ἂν εἶχε τοῖς ἀποψηφισαμένοις
they-were-making no-one — would-be-able the(-men) having-acquitted(-them)
ἐπιτιμᾶν· ἐφ᾽ ὑμῖν γὰρ ὁποτέροις βούλεσθε πιστεύειν·
to-blame up-to you for whichever(-side) you-wish to-believe
νῦν δὲ πῶς οὐ δεινὰ ἂν δόξαιτε ποιεῖν, εἰ τοὺς
now but how not terrible(-things) — would-you-seem to-do if the(-men)
ὁμολογοῦντας παρανομεῖν ἀζημίους ἀφήσετε;
admitting to-break-the-law unpunished you-will-release

18 Ἀναμνήσθητε δέ, ὦ ἄνδρες δικασταί, ὅτι πολλῶν ἤδη
remember and O men jurors that many already
ἐχόντων ταύτην τὴν αἰτίαν, ἀλλ᾽ ἀρνουμένων καὶ μάρτυρας
having this the charge but denying(-it) and witnesses
παρεχομένων, θάνατον κατέγνωτε, πιστοτέρους

ἡγησάμενοι τοὺς τῶν κατηγόρων λόγους. καίτοι πῶς ἂν
thinking the of-the accusers words and-yet how —
οὐ θαυμαστὸν εἴη, εἰ περὶ τῶν αὐτῶν ἁμαρτημάτων
not astonishing would-it-be if about the same offenses
δικάζοντες μᾶλλον ἐπιθυμεῖτε παρὰ τῶν ἀρνουμένων
judging more you-desire from the(-men) denying(-it)
δίκην λαμβάνειν;
penalty to-exact

Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, πᾶσιν ἡγοῦμαι φανερὸν 19
and indeed indeed O men jurors to-all I-think clear
εἶναι ὅτι οἱ περὶ τῶν τοιούτων ἀγῶνες κοινότατοι
to-be that the about the such(-matters) trials most-common
τυγχάνουσιν ὄντες τοῖς ἐν τῇ πόλει, ὥστε πεύσονται
happen being to-the(-men) in the city so-that they-will-learn
ἥντινα γνώμην περὶ αὐτῶν ἔχετε, ἡγούμενοι, ἂν μὲν
what opinion about them you-have thinking if indeed
θάνατον τούτων καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι
death of-these(-men) you-condemn more-orderly to-be-going-to-be
τοὺς λοιπούς· ἂν δ' ἀζημίους ἀφῆτε, πολλὴν ἄδειαν
the rest if but unpunished you-release(-them) great immunity
αὐτοῖς ἐψηφισμένοι ἔσεσθε ποιεῖν ὅ τι ἂν βούλωνται.
for-them having-voted you-will-be to-do what ever — they-wish

Χρὴ δέ, ὦ ἄνδρες δικασταί, μὴ μόνον τῶν παρεληλυθότων 20
one-must and O men jurors not only of-the past(-deeds)
ἕνεκα αὐτοὺς κολάζειν, ἀλλὰ καὶ παραδείγματος ἕνεκα
for-the-sake them to-punish but also of-example for-the-sake
τῶν μελλόντων ἔσεσθαι· οὕτω γὰρ ἔσονται μόγις
of-the(-deeds) about to-be so for they-will-be barely
ἀνεκτοί. ἐνθυμεῖσθε δὲ ὅτι ἐκ ταύτης τῆς τέχνης πλεῖστοι
tolerable consider and that from this the trade very-many
περὶ τοῦ σώματός εἰσιν ἠγωνισμένοι· καὶ οὕτω μεγάλα
about the body have stood-trial and so great(-profits)

ἐξ αὐτῆς ὠφελοῦνται, ὥστε μᾶλλον αἱροῦνται καθ'
from it they-gain that rather they-choose by
ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν ἢ παύεσθαι
each day about the life to-run-risk than to-stop
παρ' ὑμῶν ἀδίκως κερδαίνοντες.
from you unjustly profiting

21 Καὶ μὲν δὴ οὐδ' ἐὰν ἀντιβολῶσιν ὑμᾶς καὶ ἱκετεύωσι,
and indeed indeed not-even if they-entreat you and supplicate
δικαίως ἂν αὐτοὺς ἐλεήσαιτε, ἀλλὰ πολὺ μᾶλλον τῶν τε
justly — them you-would-pity but much rather the both
πολιτῶν οἳ διὰ τὴν τούτων πονηρίαν ἀπέθνῃσκον,
citizens who because-of the of-these(-men) wickedness were-dying
καὶ τοὺς ἐμπόρους ἐφ' οὓς οὗτοι συνέστησαν· οἷς
and the merchants against whom these(-men) combined to-whom
ὑμεῖς χαριεῖσθε καὶ προθυμοτέρους ποιήσετε, δίκην παρὰ
you will-gratify and more-zealous will-make penalty from
τούτων λαμβάνοντες. εἰ δὲ μή, τίν' αὐτοὺς οἴεσθε
these(-men) exacting if but not what them do-you-think
γνώμην ἕξειν, ἐπειδὰν πύθωνται ὅτι τῶν καπήλων,
opinion to-be-going-to-have when they-learn that the retailers
οἳ τοῖς εἰσπλέουσιν ὡμολόγησαν ἐπιβουλεύειν,
who against-the(-men) sailing-in admitted to-plot
ἀπεψηφίσασθε;
you-acquitted

22 Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· περὶ μὲν γὰρ
not I-know what (thing) it-is-necessary more to-say about indeed for
τῶν ἄλλων τῶν ἀδικούντων, ὅτε δικάζονται, δεῖ
the other the(-men) doing-wrong when they-are-tried it-is-necessary
παρὰ τῶν κατηγόρων πυθέσθαι, τὴν δὲ τούτων πονηρίαν
from the accusers to-learn the but of-these(-men) wickedness
ἅπαντες ἐπίστασθε. ἂν οὖν τούτων καταψηφίσησθε, τά
all know if then these(-men) you-condemn the(-things)

τε δίκαια ποιήσετε καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε·
both just you-will-do and cheaper the grain you-will-buy
εἰ δὲ μή, τιμιώτερον.
if but not dearer

LYSIAS

ΚΑΤΑ ΠΑΓΚΛΕΩΝΟΣ ΟΤΙ ΟΥΚ ΗΝ ΠΛΑΤΑΙΕΥΣ

Against Pancleon

The speaker sued Pancleon before the polemarch as a resident alien. Pancleon claimed to be a Plataean of Decelea, but no Decelean knew him, and at the cheese market the Plataeans did not know him, except one who said Pancleon was his own runaway slave. When Nicomedes seized him as his slave, his friends promised a brother would claim him free, but instead a woman claimed him as hers, and his friends carried him off by force. He had earlier let a judgment go against him rather than prove he was a Plataean, and moved to Thebes.

Πολλὰ μὲν λέγειν, ὦ ἄνδρες δικασταί, περὶ τουτουὶ 1
much indeed to-say O men jurors about this-here
τοῦ πράγματος οὔτ' ἂν δυναίμην οὔτε μοι δοκεῖ
the matter neither — could-I nor to-me does-it-seem
δεῖν· ὡς δὲ ὀρθῶς τὴν δίκην ἔλαχον τουτῳὶ
to-be-necessary that but rightly the suit I-brought against-this-here
Παγκλέωνι οὐκ ὄντι Πλαταιεῖ, τοῦτο ὑμῖν πειράσομαι
Pancleon not being a-Plataean this to-you I-will-try
ἀποδεῖξαι.
to-show
Ὡς γὰρ ἀδικῶν με πολὺν χρόνον οὐκ ἐπαύετο, ἐλθὼν 2
as for wronging me long time not he-stopped having-gone
ἐπὶ τὸ γναφεῖον, ἐν ᾧ ἠργάζετο, προσεκαλεσάμην
to the fuller's-shop in which he-worked I-summoned
αὐτὸν πρὸς τὸν πολέμαρχον, νομίζων μέτοικον εἶναι.
him before the polemarch thinking a-resident-alien (him)-to-be
εἰπόντος δὲ τούτου ὅτι Πλαταιεὺς εἴη, ἠρόμην ὁπόθεν
having-said and this(-man) that a-Plataean he-was I-asked from-what(-deme)
δημοτεύοιτο, παραινέσαντός τινος τῶν παρόντων
he-was-registered having-advised someone of-the(-men) present
προσκαλέσασθαι καὶ πρὸς τὴν φυλήν, ἧστινος εἶναι
to-summon(-him) also before the tribe of-which to-be

σκήπτοιτο. ἐπειδὴ δὲ ἀπεκρίνατο ὅτι Δεκελειόθεν,
he-might-claim when but he-answered that from-Decelea
προσκαλεσάμενος αὐτὸν καὶ πρὸς τοὺς τῇ Ἱπποθωντίδι
having-summoned him also before the(-judges) for-the Hippothontis
δικάζοντας,
judging

3 ἐλθὼν ἐπὶ τὸ κουρεῖον τὸ παρὰ τοὺς Ἑρμᾶς,
having-gone to the barber's-shop the(-one) by the Hermae
ἵνα οἱ Δεκελειεῖς προσφοιτῶσιν, ἠρώτων, οὕς τε
where the Deceleans resort I-asked whom both
ἐξευρίσκοιμι Δεκελειῶν ἐπυνθανόμην εἴ τινα γιγνώσκοιεν
I-could-find of-Deceleans I-inquired if anyone they-knew
Δεκελειόθεν δημοτευόμενον Παγκλέωνα. ἐπειδὴ δὲ
from-Decelea registered Pancleon when but
οὐδεὶς ἔφασκε γιγνώσκειν αὐτόν, πυθόμενος ὅτι
no-one claimed to-know him having-learned that
καὶ ἑτέρας δίκας τὰς μὲν φεύγοι τὰς
also other suits the(-ones) indeed he-was-defending the(-others)
δ' ὠφλήκοι παρὰ τῷ πολεμάρχῳ, ἔλαχον καὶ
and had-lost before the polemarch I-brought(-mine) also
ἐγώ.
I

4 Πρῶτον μὲν οὖν ὑμῖν Δεκελειῶν οὓς ἠρόμην μάρτυρας
first indeed then to-you of-Deceleans whom I-asked witnesses
παρέξομαι, ἔπειτα δὲ καὶ τῶν ἄλλων τῶν λαχόντων τε
I-will-present then and also of-the others the(-men) having-brought both
δίκας αὐτῷ πρὸς τὸν πολέμαρχον καὶ καταδικασαμένων,
suits against-him before the polemarch and having-won(-them)
ὅσοι τυγχάνουσι παρόντες. Καί μοι ἐπίλαβε τὸ
as-many-as happen being-present and to-me stop the
ὕδωρ.
water

ΜΑΡΤΥΡΕΣ.

witnesses

Ἐκ μὲν τούτων πεισθεὶς πρὸς τὸν πολέμαρχον 5
from indeed these(-things) persuaded before the polemarch
αὐτῷ τὴν δίκην ἔλαχον· ἐπειδὴ δέ μοι αὐτὴν
against-him the suit I-brought when but to-me it
ἀντεγράψατο μὴ εἰσαγώγιμον εἶναι, περὶ πολλοῦ
he-counter-pleaded not admissible to-be of much
ποιούμενος μηδενὶ δόξαι ὑβρίζειν βούλεσθαι
making for-no-one to-seem to-commit-outrage to-wish
μᾶλλον ἢ δίκην λαβεῖν ὧν ἠδικήθην, πρῶτον
rather than penalty to-exact for-what I-was-wronged first
μὲν Εὐθύκριτον, ὃν πρεσβύτατόν τε Πλαταιῶν
indeed Euthycritus whom oldest both of-Plataeans
ἐγίγνωσκον καὶ μάλιστα ᾠόμην εἰδέναι, ἠρόμην
I-knew and most I-thought to-know I-asked
εἴ τινα γιγνώσκοι Ἱππαρμοδώρου υὸν Παγκλέωνα
if anyone he-knew of-Hipparmodorus son Pancleon
Πλαταιᾶ·
a-Plataean
ἔπειτα δέ, ἐπειδὴ ἐκεῖνος ἀπεκρίνατό μοι ὅτι τὸν 6
then and when he answered me that —
Ἱππαρμόδωρον μὲν γιγνώσκοι, υὸν δὲ ἐκείνῳ οὐδένα,
Hipparmodorus indeed he-knew son but to-him none
οὔτε Παγκλέωνα οὔτε ἄλλον οὐδένα, εἰδείη ὄντα,
neither Pancleon nor other any he-knew being
ἠρώτων δὴ καὶ τῶν ἄλλων ὅσους ᾔδη Πλαταιᾶς
I-asked indeed also of-the others as-many-as I-knew Plataeans
ὄντας. πάντες οὖν ἀγνοοῦντες τὸ ὄνομα αὐτοῦ,
being all then not-knowing the name of-him
ἀκριβέστατα ἂν ἔφασάν με πυθέσθαι ἐλθόντα εἰς τὸν
most-accurately — they-said me to-learn having-gone to the

χλωρὸν τυρὸν τῇ ἔνῃ καὶ νέᾳ· ταύτῃ γὰρ τῇ
fresh cheese on-the old and new(-day) on-this for the
ἡμέρᾳ τοῦ μηνὸς ἑκάστου ἐκεῖσε συλλέγεσθαι τοὺς
day of-the month each there to-gather the
Πλαταιᾶς.
Plataeans

7 Ἐλθὼν οὖν εἰς τὸν τυρὸν ταύτῃ τῇ ἡμέρᾳ
having-gone then to the cheese(-market) on-this the day
ἐπυνθανόμην αὐτῶν, εἴ τινα γιγνώσκοιεν Παγκλέωνα
I-inquired of-them if anyone they-knew Pancleon
πολίτην σφέτερον. καὶ οἱ μὲν ἄλλοι οὐκ ἔφασαν
citizen their-own and the indeed others not said
γιγνώσκειν, εἷς δέ τις εἶπεν ὅτι τῶν μὲν
to-know one but someone said that of-the indeed
πολιτῶν οὐδενὶ εἰδείη τοῦτο ὂν τὸ ὄνομα,
citizens to-no-one he-knew this being the name
δοῦλον μέντοι ἔφη ἑαυτοῦ ἀφεστῶτα εἶναι
slave however he-said his-own run-away to-be
Παγκλέωνα,
Pancleon

8 τήν τε ἡλικίαν λέγων τὴν τούτου καὶ τὴν
the both age telling the of-this(-man) and the
τέχνην ᾗ οὗτος χρῆται. ταῦτ' οὖν ὡς
trade which this(-man) practices these-things then that
ἀληθῆ ἐστι, τόν τε Εὐθύκριτον, ὃν πρῶτον
true(-things) are the both Euthycritus whom first
ἠρόμην, καὶ τῶν ἄλλων Πλαταιῶν ὅσοις
I-asked and of-the other Plataeans as-many-as
προσῆλθον, καὶ τὸν ὃς ἔφη δεσπότης τούτου
I-approached and the(-man) who said master of-this(-man)

εἶναι, μάρτυρας παρέξομαι. Καί μοι ἐπίλαβε τὸ
to-be witnesses I-will-present and to-me stop the
ὕδωρ.
water
ΜΑΡΤΥΡΕΣ.
witnesses
Ἡμέραις τοίνυν μετὰ ταῦτα οὐ πολλαῖς ὕστερον 9
days then after these-things not many later
ἰδὼν ἀγόμενον τουτονὶ Παγκλέωνα ὑπὸ Νικομήδους,
having-seen being-led-off this-here Pancleon by Nicomedes
ὃς ἐμαρτύρησεν αὐτοῦ δεσπότης εἶναι, προσῆλθον
who testified his master to-be I-approached
βουλόμενος εἰδέναι ὁποῖόν τι περὶ αὐτοῦ πραχθήσοιτο.
wishing to-know what-kind-of thing about him would-be-done
τότε μὲν οὖν ἐπειδὴ ἐπαύσαντο μαχόμενοι, εἶπόν
then indeed then when they-stopped fighting said
τινες τῶν τούτῳ παρόντων ὅτι εἴη αὐτῷ
some of-the(-men) with-this(-man) present that there-was to-him
ἀδελφὸς ὃς ἐξαιρήσοιτο αὐτὸν εἰς ἐλευθερίαν· ἐπὶ
a-brother who would-claim him into freedom on
τούτοις ἐγγυησάμενοι παρέξειν εἰς αὔριον ᾤχοντο
these(-terms) having-given-surety to-produce(-him) for the-morrow they-went-off
ἀπιόντες.
departing
Τῇ δ' ὑστεραίᾳ τῆς τε ἀντιγραφῆς ἕνεκα 10
on-the and next(-day) of-the both counter-plea for-the-sake
ταυτησὶ καὶ αὐτῆς τῆς δίκης ἔδοξέ μοι χρῆναι
this-here and itself of-the suit it-seemed to-me to-be-right
μάρτυρας λαβόντι παραγενέσθαι, ἵν' εἰδείην
witnesses having-taken to-be-present so-that I-might-know
τόν τ' ἐξαιρησόμενον αὐτὸν καὶ ὅ τι λέγων
the(-man) both going-to-claim him and what (thing) saying

ἀφαιρήσοιτο. ἐφ' οἷς μὲν οὖν ἐξηγγυήθη,
he-would-take(-him)-away on what(-terms) indeed then he-was-bailed
οὔτε ἀδελφὸς οὔτε ἄλλος οὐδεὶς ἦλθε, γυνὴ δὲ
neither brother nor other anyone came a-woman but
φάσκουσα αὑτῆς αὐτὸν εἶναι δοῦλον, ἀμφισβητοῦσα
claiming hers him to-be slave disputing
τῷ Νικομήδει, καὶ οὐκ ἔφη ἐάσειν αὐτὸν
— with-Nicomedes and not said to-be-going-to-allow him
ἄγειν.
to-lead(-him-off)

11 Ὅσα μὲν οὖν αὐτόθι ἐρρήθη, πολὺς ἂν εἴη
as-much-as indeed then on-the-spot was-said long — would-be
μοι λόγος διηγεῖσθαι· εἰς τοῦτο δὲ βιαιότητος ἦλθον
for-me speech to-narrate to this but of-violence came
οἵ τε παρόντες τούτῳ καὶ αὐτὸς οὗτος,
the(-men) both present with-this(-man) and himself this(-man)
ὥστε ἐθέλοντος μὲν τοῦ Νικομήδους ἐθελούσης δὲ
that willing indeed — Nicomedes willing and
τῆς γυναικὸς ἀφιέναι, εἴ τις ἢ εἰς ἐλευθερίαν
the woman to-let(-him)-go if anyone either into freedom
τοῦτον ἀφαιροῖτο ἢ ἄγοι φάσκων ἑαυτοῦ
him should-claim or should-lead(-him-off) claiming his-own
δοῦλον εἶναι, τούτων οὐδὲν ποιήσαντες ἀφελόμενοι
slave to-be of-these(-things) nothing having-done having-taken(-him)-away
ᾤχοντο. ὡς οὖν τῇ τε προτεραίᾳ ἐπὶ τούτοις
they-went-off that then on-the both previous(-day) on these(-terms)
ἐξηγγυήθη καὶ τότε βίᾳ ᾤχοντο ἀφελόμενοι αὐτόν,
he-was-bailed and then by-force they-went-off having-taken-away him
μάρτυρας παρέξομαι ὑμῖν. Καί μοι ἐπίλαβε τὸ
witnesses I-will-present to-you and to-me stop the
ὕδωρ.
water

ΜΑΡΤΥΡΕΣ.

witnesses

Ῥᾴδιον τοίνυν εἰδέναι ὅτι οὐδ' αὐτὸς Παγκλέων νομίζει 12
easy then to-know that not-even himself Pancleon thinks
ἑαυτὸν μὴ ὅτι Πλαταιᾶ εἶναι, ἀλλ' οὐδ' ἐλεύθερον.
himself not only a-Plataean to-be but not-even free
ὅστις γὰρ ἐβουλήθη βίᾳ ἀφαιρεθεὶς ἐνόχους
whoever for wished by-force having-been-taken-away liable
καταστῆσαι τοὺς ἑαυτοῦ ἐπιτηδείους τοῖς βιαίοις
to-make the his-own friends to-the(-laws) of-violence
μᾶλλον ἢ κατὰ τοὺς νόμους εἰς τὴν ἐλευθερίαν
rather than according-to the laws into the freedom
ἐξαιρεθεὶς δίκην λαβεῖν παρὰ τῶν ἀγόντων αὐτόν,
having-been-claimed penalty to-exact from the(-men) leading him
οὐδενὶ χαλεπὸν γνῶναι ὅτι εὖ εἰδὼς ἑαυτὸν ὄντα
to-no-one hard to-know that well knowing himself being
δοῦλον ἔδεισεν ἐγγυητὰς καταστήσας περὶ τοῦ σώματος
a-slave he-feared sureties having-provided about the body
ἀγωνίσασθαι.
to-contend

Ὅτι μὲν οὖν Πλαταιεὺς εἶναι πολλοῦ δεῖ, οἶμαι 13
that indeed then a-Plataean to-be far he-is-from I-think
ὑμᾶς ἐκ τούτων σχεδόν τι γιγνώσκειν· ὅτι δὲ
you from these(-things) nearly — to-recognize that but
οὐδ' αὐτὸς οὗτος, ὃς ἄριστα οἶδε τὰ αὑτοῦ,
not-even himself this(-man) who best knows the his-own(-affairs)
ἡγήσατο δόξαι ἂν ὑμῖν Πλαταιεὺς εἶναι, ἐξ
thought would-seem — to-you a-Plataean to-be from
ὧν ἔπραξε ῥᾳδίως μαθήσεσθε. ἐν τῇ ἀντωμοσίᾳ
what(-things) he-did easily you-will-learn in the sworn-plea
γὰρ τῆς δίκης ἣν αὐτῷ ἔλαχεν Ἀριστόδικος
for of-the suit which against-him brought Aristodicus

οὑτοσί, ἀμφισβητῶν μὴ πρὸς τὸν πολέμαρχον εἶναί
this-here contending not before the polemarch to-be
οἱ τὰς δίκας διεμαρτυρήθη μὴ Πλαταιεὺς
for-him the suits it-was-attested-against-him not a-Plataean
εἶναι.
to-be

14 Ἐπισκηψάμενος δὲ τῷ μάρτυρι οὐκ ἐπεξῆλθεν, ἀλλ'
having-denounced and the witness not he-prosecuted(-it) but
εἴασε καταδικάσασθαι αὐτοῦ τὸν Ἀριστόδικον. ἐπεὶ
allowed to-win-judgment against-him — Aristodicus when
δὲ ὑπερήμερος ἐγένετο, ἐξέτεισε τὴν δίκην, καθ'
but past-due he-became he-paid the judgment by
ὅ τι ἔπειθε. καὶ τούτων, ὡς ἀληθῆ ἐστι,
what ever he-could-persuade and of-these(-things) that true(-things) are
μάρτυρας ἐγὼ παρέξομαι ὑμῖν. Καί μοι ἐπίλαβε τὸ
witnesses I will-present to-you and to-me stop the
ὕδωρ.
water

ΜΑΡΤΥΡΕΣ.
witnesses

15 Πρὶν τοίνυν ταῦτα ὁμολογηθῆναι αὐτῷ, δεδιὼς τὸν
before then these-things to-be-agreed by-him fearing —
Ἀριστόδικον μεταστὰς ἐντεῦθεν Θήβησι μετῴκει.
Aristodicus having-moved from-here at-Thebes he-lived-as-an-alien
καίτοι οἶμαι εἰδέναι ὑμᾶς ὅτι εἴπερ ἦν Πλαταιεύς,
and-yet I-think to-know you that if-indeed he-was a-Plataean
πανταχοῦ μᾶλλον ἢ Θήβησιν εἰκὸς ἦν αὐτὸν
anywhere rather than at-Thebes reasonable it-was him
μετοικῆσαι. ὡς οὖν ᾤκει ἐκεῖ πολὺν χρόνον, τούτων
to-reside-as-an-alien that then he-lived there long time of-these(-things)

ὑμῖν μάρτυρας παρέξομαι. Καί μοι ἐπίλαβε τὸ
to-you witnesses I-will-present and to-me stop the
ὕδωρ.
water
ΜΑΡΤΥΡΕΣ.
witnesses
Ἐξαρκεῖν μοι νομίζω τὰ εἰρημένα, ὦ ἄνδρες 16
to-suffice to-me I-think the(-things) said O men
δικασταί· ἐὰν γὰρ διαμνημονεύητε, οἶδ' ὅτι τά τε
jurors if for you-remember I-know that the(-things) both
δίκαια καὶ τἀληθῆ ψηφιεῖσθε, ἃ καὶ ἐγὼ ὑμῶν
just and the-true(-things) you-will-vote which also I of-you
δέομαι.
beg

LYSIAS

ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΙΔΟΣΘΑΙ ΤΩΙ ΑΔΥΝΑΤΩΙ ΑΡΓΥΡΙΟΝ

For the Disabled Man

A disabled craftsman defends the allowance the city pays him, which an accuser says he does not need, since he rides horses and keeps company with the well-off. He is grateful for the chance to account for his life. His father left him nothing, his mother has died, he has no children, and his trade earns little. He rides because his disability makes long journeys hard, and borrows horses because he cannot afford a mule; he uses two sticks where others use one.

Οὐ πολλοῦ δέω χάριν ἔχειν, ὦ βουλή, τῷ κατηγόρῳ, 1
not much I-lack gratitude to-have O council to-the accuser
ὅτι μοι παρεσκεύασε τὸν ἀγῶνα τουτονί. πρότερον γὰρ
because for-me he-has-prepared the contest this-here before for
οὐκ ἔχων πρόφασιν ἐφ' ἧς τοῦ βίου λόγον δοίην,
not having occasion on which of-the life account I-might-give
νυνὶ διὰ τοῦτον εἴληφα. καὶ πειράσομαι τῷ λόγῳ
now because-of this(-man) I-have-got(-one) and I-will-try by-the speech
τοῦτον μὲν ἐπιδεῖξαι ψευδόμενον, ἐμαυτὸν δὲ βεβιωκότα
this(-man) indeed to-show lying myself but having-lived
μέχρι τῆσδε τῆς ἡμέρας ἐπαίνου μᾶλλον ἄξιον ἢ φθόνου·
up-to this the day of-praise rather worthy than of-envy
διὰ γὰρ οὐδὲν ἄλλο μοι δοκεῖ παρασκευάσαι τόνδε
because-of for nothing other to-me he-seems to-have-prepared this
μοι τὸν κίνδυνον οὗτος ἢ διὰ φθόνον.
for-me the danger this(-man) than because-of envy
Καίτοι ὅστις τούτοις φθονεῖ οἷς οἱ ἄλλοι ἐλεοῦσι, τίνος 2
and-yet whoever those envies whom the others pity from-what
ἂν ὑμῖν ὁ τοιοῦτος ἀποσχέσθαι δοκεῖ πονηρίας; εἰ μὲν
— to-you the such(-a-man) to-abstain does-he-seem wickedness if indeed
γὰρ ἕνεκα χρημάτων με συκοφαντεῖ— εἰ δ' ὡς ἐχθρὸν
for for-the-sake-of money me he-blackmails if but as enemy

ἑαυτοῦ με τιμωρεῖται, ψεύδεται· διὰ γὰρ τὴν πονηρίαν
his-own me he-punishes he-lies because-of for the wickedness
αὐτοῦ οὔτε φίλῳ οὔτε ἐχθρῷ πώποτε ἐχρησάμην αὐτῷ.
his neither as-friend nor as-enemy ever did-I-treat him

3 Ἤδη τοίνυν, ὦ βουλή, δῆλός ἐστι φθονῶν, ὅτι τοιαύτῃ
already then O council clear he-is envying because such
κεχρημένος συμφορᾷ τούτου βελτίων εἰμὶ πολίτης.
having-met-with misfortune than-this(-man) better I-am citizen
καὶ γὰρ οἶμαι δεῖν, ὦ βουλή, τὰ τοῦ σώματος
and for I-think to-be-necessary O council the of-the body
δυστυχήματα τοῖς τῆς ψυχῆς ἐπιτηδεύμασιν ἰᾶσθαι. εἰ
misfortunes by-the of-the soul practices to-cure if
γὰρ ἐξ ἴσου τῇ συμφορᾷ καὶ τὴν διάνοιαν ἕξω
for on equal(-terms) with-the misfortune also the mind I-will-have
καὶ τὸν ἄλλον βίον διάξω, τί τούτου διοίσω;
and the other life I-will-lead in-what from-this(-man) will-I-differ

4 Περὶ μὲν οὖν τούτων τοσαῦτά μοι εἰρήσθω· ὑπὲρ
about indeed then these(-things) so-much by-me let-it-have-been-said about
ὧν δέ μοι προσήκει λέγειν, ὡς ἂν οἷόν τε διὰ
what(-things) but to-me it-befits to-speak as — possible — through
βραχυτάτων ἐρῶ. φησὶ γὰρ ὁ κατήγορος οὐ δικαίως
briefest I-will-speak says for the accuser not justly
με λαμβάνειν τὸ παρὰ τῆς πόλεως ἀργύριον· καὶ γὰρ τῷ
me to-receive the from the city money both for in-the
σώματι δύνασθαι καὶ οὐκ εἶναι τῶν ἀδυνάτων, καὶ τέχνην
body to-be-able and not to-be of-the disabled and a-trade
ἐπίστασθαι τοιαύτην ὥστε καὶ ἄνευ τοῦ διδομένου τούτου ζῆν.
to-know such that even without the given this to-live

5 Καὶ τεκμηρίοις χρῆται τῆς μὲν τοῦ σώματος ῥώμης, ὅτι
and as-proofs he-uses of-the indeed of-the body strength that
ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τῆς δ' ἐν τῇ τέχνῃ εὐπορίας,
onto the horses I-mount of-the and in the trade resources

ὅτι δύναμαι συνεῖναι δυναμένοις ἀνθρώποις ἀναλίσκειν.
that I-am-able to-associate-with able men to-spend
τὴν μὲν οὖν ἐκ τῆς τέχνης εὐπορίαν καὶ τὸν ἄλλον
the indeed then from the trade resources and the other
τὸν ἐμὸν βίον, οἷος τυγχάνει, πάντας ὑμᾶς οἴομαι
the my life what-sort it-happens(-to-be) all you I-think
γιγνώσκειν· ὅμως δὲ κἀγὼ διὰ βραχέων ἐρῶ.
to-know nevertheless but I-too through brief(-words) will-speak
Ἐμοὶ γὰρ ὁ μὲν πατὴρ κατέλιπεν οὐδέν, τὴν δὲ μητέρα 6
to-me for the indeed father left nothing the but mother
τελευτήσασαν πέπαυμαι τρέφων τρίτον ἔτος τουτί, παῖδες
having-died I-have-ceased supporting the-third year this-here children
δέ μοι οὔπω εἰσὶν οἵ με θεραπεύσουσι. τέχνην δὲ
and to-me not-yet are who me will-look-after a-trade and
κέκτημαι βραχέα δυναμένην ὠφελεῖν, ἣν αὐτὸς μὲν
I-have-acquired little able to-help which myself indeed
ἤδη χαλεπῶς ἐργάζομαι, τὸν διαδεξόμενον δ' αὐτὴν
already with-difficulty work the(-one) going-to-take-over but it
οὔπω δύναμαι κτήσασθαι. πρόσοδος δέ μοι οὐκ ἔστιν
not-yet I-am-able to-acquire income and to-me not is
ἄλλη πλὴν ταύτης, ἣν ἂν ἀφέλησθέ με, κινδυνεύσαιμ'
other except this which if you-take-away from-me I-would-risk
ἂν ὑπὸ τῇ δυσχερεστάτῃ γενέσθαι τύχῃ.
— under the most-grievous to-come fortune
Μὴ τοίνυν, ἐπειδή γε ἔστιν, ὦ βουλή, σῶσαί με 7
not then since at-least it-is(-possible) O council to-save me
δικαίως, ἀπολέσητε ἀδίκως· μηδὲ ἃ νεωτέρῳ καὶ
justly ruin(-me) unjustly nor what(-things) to-younger and
μᾶλλον ἐρρωμένῳ ὄντι ἔδοτε, πρεσβύτερον καὶ ἀσθενέστερον
more strong being you-gave older and weaker
γιγνόμενον ἀφέλησθε· μηδὲ πρότερον καὶ περὶ τοὺς
becoming take-away nor before even toward the(-men)

οὐδὲν ἔχοντας κακὸν ἐλεημονέστατοι δοκοῦντες εἶναι νυνὶ
nothing having bad most-merciful seeming to-be now
διὰ τοῦτον τοὺς καὶ τοῖς ἐχθροῖς ἐλεινοὺς ὄντας ἀγρίως
because-of this(-man) those even to-the enemies pitiable being savagely
ἀποδέξησθε· μηδ' ἐμὲ τολμήσαντες ἀδικῆσαι καὶ τοὺς
receive nor me having-dared to-wrong also the
ἄλλους τοὺς ὁμοίως ἐμοὶ διακειμένους ἀθυμῆσαι ποιήσητε.
others the(-men) similarly to-me placed to-lose-heart make

8 Καὶ γὰρ ἂν ἄτοπον εἴη, ὦ βουλή, εἰ ὅτε μὲν ἁπλῆ μοι
and for — absurd would-it-be O council if when indeed single for-me
ἦν ἡ συμφορά, τότε μὲν φαινοίμην λαμβάνων τὸ ἀργύριον
was the misfortune then indeed I-should-be-shown receiving the money
τοῦτο, νῦν δ' ἐπειδὴ καὶ γῆρας καὶ νόσοι καὶ τὰ τούτοις
this now but when both old-age and illnesses and the these
ἑπόμενα κακὰ προσγίγνεταί μοι, τότε ἀφαιρεθείην.
following evils are-coming-upon me then I-should-be-deprived(-of-it)

9 Δοκεῖ δέ μοι τῆς πενίας τῆς ἐμῆς τὸ μέγεθος ὁ κατήγορος
seems and to-me of-the poverty the my the greatness the accuser
ἂν ἐπιδεῖξαι σαφέστατα μόνος ἀνθρώπων. εἰ γὰρ ἐγὼ
— to-show most-clearly alone of-men if for I
κατασταθεὶς χορηγὸς τραγῳδοῖς προκαλεσαίμην αὐτὸν εἰς
appointed choregus for-tragedies were-to-challenge him to
ἀντίδοσιν, δεκάκις ἂν ἕλοιτο χορηγῆσαι μᾶλλον ἢ
exchange-of-property ten-times — he-would-choose to-be-choregus rather than
ἀντιδοῦναι ἅπαξ. καὶ πῶς οὐ δεινόν ἐστι νῦν μὲν κατηγορεῖν
to-exchange once and how not terrible is-it now indeed to-accuse
ὡς διὰ πολλὴν εὐπορίαν ἐξ ἴσου δύναμαι συνεῖναι
that because-of great affluence on equal(-terms) I-am-able to-associate-with
τοῖς πλουσιωτάτοις, εἰ δὲ ὧν ἐγὼ λέγω τύχοι τι
the richest if but of-what I say should-happen anything
γενόμενον, †τοιοῦτον εἶναι† καὶ ἔτι πονηρότερον;
having-happened such to-be and still worse
it-is and for-you not this only to-be-considered but also
πότερον εὐσεβέστερον τὸν βασιλέα καὶ τοὺς συνάρχοντας
whether more-piously the king-archon and the colleagues
τὰ ὑπὲρ τοῦ μέλλοντος ἄρξειν ἱερὰ θῦσαι, ὡς
the on-behalf-of the(-man) about to-hold-office rites to-sacrifice as
καὶ πρότερον ἤδη γεγένηται, ἢ καὶ τοῦτον, ὃν οὐδὲ
also before already has-happened or also this(-man) whom not-even

καθαρὸν εἶναι τὰς χεῖρας οἱ εἰδότες μεμαρτυρήκασι,
clean to-be the hands the(-men) knowing have-testified
καὶ πότερον ὑμεῖς ὠμόσατε εἰς τὴν ἀρχὴν ἀδοκίμαστον
and whether you swore into the office unscrutinized
καταστήσειν, ἢ δοκιμάσαντες τὸν ἄξιον τῆς ἀρχῆς
to-be-going-to-put or having-scrutinized the(-man) worthy of-the office
στεφανώσειν. ταῦτα γὰρ σκοπεῖσθε· κἀκεῖνο δ' ἐνθυμεῖσθε,
to-be-going-to-crown these-things for consider and-that and consider
ὅτι ὁ θεὶς τὸν περὶ τῶν δοκιμασιῶν νόμον οὐχ 9
that the(-man) having-made the about the scrutinies law not
ἥκιστα τῶν ἐν ὀλιγαρχίᾳ ἀρξάντων ἕνεκα ἔθηκεν,
least of-the(-men) in oligarchy having-held-office for-the-sake made(-it)
ἡγούμενος δεινὸν εἶναι, εἰ δι' οὓς ἡ δημοκρατία
thinking terrible to-be if because-of whom the democracy
κατελύετο, οὗτοι ἐν αὐτῇ τῇ πολιτείᾳ πάλιν ἄρξουσι,
was-being-overthrown these(-men) in the-very the constitution again will-hold-office
καὶ κύριοι γενήσονται τῶν νόμων καὶ τῆς πόλεως,
and masters will-become of-the laws and of-the city
ἣν πρότερον παραλαβόντες οὕτως αἰσχρῶς καὶ δεινῶς
which before having-taken-over so shamefully and terribly
ἐλωβήσαντο. ὥστ' οὐκ ἄξιον τῆς δοκιμασίας ὀλιγώρως
they-outraged so-that not worthy(-is-it) about-the scrutiny carelessly
ἔχειν, οὐδὲ μικρὸν ἡγουμένους τὸ πρᾶγμα μὴ φροντίζειν
to-be nor small thinking the matter not to-think-about
αὐτῆς, ἀλλὰ φυλάττειν, ὡς ἐν τῷ ἕκαστον δικαίως ἄρχειν
it but to-guard(-it) as in the each(-man) justly to-hold-office
ἥ τε πολιτεία καὶ τὸ ἄλλο πλῆθος τὸ ὑμέτερον σῴζεται.
the both constitution and the other multitude the your is-preserved
Καὶ εἰ μὲν βουλεύσων νυνὶ ἐδοκιμάζετο καὶ ὡς 10
and if indeed to-serve-on-the-council now he-were-being-scrutinized and as
ἱππευκότος αὐτοῦ ἐπὶ τῶν τριάκοντα τοὔνομα
having-served-in-the-cavalry his in-the-time-of the Thirty the-name

ἐν ταῖς σανίσιν ἐνεγέγραπτο, καὶ ἄνευ κατηγόρου ἂν αὐτὸν
in the boards had-been-written even without accuser — him
ἀπεδοκιμάζετε· νῦν δέ, ὅτε μὴ μόνον ἱππευκὼς μηδὲ
you-would-reject now but when not only having-served-in-the-cavalry nor
βεβουλευκώς, ἀλλὰ καὶ εἰς τὸ πλῆθος ἐξημαρτηκὼς
having-served-on-the-council but also against the majority having-erred
φαίνεται, οὐκ ἂν ἄτοπον ποιήσαιτε, εἰ μὴ τὴν αὐτὴν
he-is-shown not — absurd would-you-do if not the same
γνώμην ἔχοντες περὶ αὐτοῦ φανεῖσθε;
opinion having about him you-will-appear

11 Καὶ μὲν δὴ βουλεύειν γε δοκιμασθεὶς
and indeed indeed to-serve-on-the-council at-least approved
πεντακοσιοστὸς ὢν μετὰ τῶν ἄλλων ἐνιαυτὸν ἂν
one-of-five-hundred being with the others a-year —
μόνον ἐβούλευσεν, ὥστε καὶ εἴ τι ἐν τούτῳ τῷ
only he-would-have-served so-that even if anything in this the
χρόνῳ ἐξαμαρτάνειν ἐβούλετο, ῥᾳδίως ἂν ὑπὸ τῶν ἄλλων
time to-err he-wished easily — by the others
ἐκωλύετο. ταύτης δὲ τῆς ἀρχῆς ἠξιωμένος
he-would-have-been-prevented this but the office having-been-thought-worthy-of
αὐτὸς καθ' αὑτὸν ἄρξει, καὶ μετὰ τῆς ἐν Ἀρείῳ πάγῳ
himself by himself will-hold-office and with the on Ares' Hill
βουλῆς τὸν ἅπαντα χρόνον τῶν μεγίστων κύριος γενήσεται,
council the whole time of-the greatest(-matters) master will-become

12 ὥστε ὑμῖν καθήκειν περὶ ταύτης τῆς ἀρχῆς ἀκριβεστέραν
so-that for-you to-befit about this the office stricter
τὴν δοκιμασίαν ἢ περὶ τῶν ἄλλων ἀρχῶν ποιεῖσθαι.
the scrutiny than about the other offices to-make
εἰ δὲ μή, πῶς οἴεσθε τὸ ἄλλο πλῆθος τῶν πολιτῶν
if but not how think-you the other multitude of-the citizens
διακείσεσθαι, ὅταν αἴσθωνται, ὃν προσῆκε δίκας τῶν
to-be-going-to-be-disposed when they-perceive whom it-befitted penalty for-the

ἡμαρτημένων διδόναι, τοῦτον ὑφ᾽ ὑμῶν τοιαύτης ἀρχῆς
offenses to-pay this(-man) by you of-such office
ἠξιωμένον; καὶ φόνου δίκας δικάζοντα, ὃν ἔδει
thought-worthy and of-murder cases judging whom it-was-necessary
αὐτὸν ὑπὸ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς κρίνεσθαι; καὶ
himself by the on Ares' Hill council to-be-tried and
πρὸς τούτοις ἴδωσιν ἐστεφανωμένον, καὶ ἐπικλήρων
in-addition-to these(-things) they-see crowned and of-heiresses
καὶ ὀρφανῶν κύριον γεγενημένον, ὧν ἐνίοις αὐτὸς
and orphans master having-become of-whom to-some himself
οὗτος τῆς ὀρφανίας αἴτιος γεγένηται;
this(-man) of-the orphanhood cause has-become

II · LEODAMAS AND THRASYBULUS

The councilors once rejected Leodamas, whom Thrasybulus accused, and will seem unjust if they now approve Evander, whom Thrasybulus defends. The speaker is not doing Leodamas a favor: approving Evander is what would serve Leodamas. Evander will claim that his scrutiny concerns all who stayed in the city, but the people judge each by his deeds, and the city has honored those of the city who stayed loyal no less than those who went to Phyle. The speaker's family never served tyrants or oligarchs, while Thrasybulus took money to change the Boeotians' constitution, betrayed the fleet, and extorted thirty minas from prisoners.

Ἆρ᾽ οὐκ οἴεσθε αὐτοὺς χαλεπῶς διακείσεσθαι καὶ 13
then not do-you-think them badly to-be-going-to-be-disposed and
ὑμᾶς αὐτῶν αἰτίους ἡγήσεσθαι, ὅταν γένωνται ἐν
you of-them causes to-be-going-to-consider whenever they-come in
ἐκείνοις τοῖς χρόνοις, ἐν οἷς αὐτῶν πολλοὶ εἰς τὸ
those the times in which of-them many to the
δεσμωτήριον ἀπήγοντο καὶ ἄκριτοι ὑπὸ τούτων ἀπώλλυντο
prison were-led-off and untried by these(-men) perished

καὶ φεύγειν τὴν σφετέραν αὐτῶν ἠναγκάζοντο, κἀκεῖνο
and to-flee the their- -own(-land) were-compelled and-that
πρὸς ἐνθυμηθῶσιν, ὅτι ὁ αὐτὸς οὗτος ἀνὴρ αἴτιος γεγένηται
besides they-consider that the same this man cause has-become
Λεωδάμαντά τε ἀποδοκιμασθῆναι καὶ τοῦτον δοκιμασθῆναι,
Leodamas both to-be-rejected and this(-man) to-be-approved
τοῦ μὲν κατήγορος γενόμενος, ὑπὲρ τούτου δὲ
of-the(-one) indeed accuser having-become on-behalf-of this(-man) but
ἀπολογήσασθαι παρασκευασάμενος, ὃς πῶς πρὸς τὴν
to-defend having-prepared who how toward the
πόλιν διάκειται καὶ πόσων αἴτιος αὐτῇ κακῶν γεγένηται;
city is-disposed and of-how-many cause to-it evils has-become
14 Ἢ πιθόμενοι πῶς ἂν οἴεσθε διαβληθῆναι; τότε μὲν
or having-been-persuaded how — do-you-think to-be-slandered then indeed
γὰρ ὑμᾶς ᾤοντο ὀργισθέντας Λεωδάμαντα ἀποδοκιμάσαι·
for you they-thought being-angry Leodamas to-have-rejected
ἐὰν δὲ τοῦτον δοκιμάσητε, εὖ εἴσονται ὅτι οὐ δικαίᾳ
if but this(-man) you-approve well they-will-know that not with-just
γνώμῃ περὶ αὐτοῦ κέχρησθε. ἔστι δὲ τούτοις μὲν πρὸς
judgment about him you-have-dealt is and for-these(-men) indeed toward
ὑμᾶς ἀγών, ὑμῖν δὲ πρὸς ἅπασαν τὴν πόλιν, ἣ σκοπεῖ
you the-contest for-you but toward all the city which watches
νυνὶ τίνα ὑμεῖς γνώμην περὶ αὐτῆς ἕξετε.
now what you opinion about it will-have
15 Καὶ μηδεὶς ὑμῶν ἡγείσθω με Λεωδάμαντι χαριζόμενον
and let-no-one of-you think me to-Leodamas doing-a-favor
κατηγορεῖν Εὐάνδρου, ὅτι φίλος ὢν τυγχάνει, ἀλλ'
to-accuse Evander because friend being he-happens(-to-be) but
ὑπὲρ ὑμῶν καὶ τῆς πόλεως προνοούμενον. ῥᾴδιον
on-behalf-of you and the city taking-forethought easy
δ' ἐξ αὐτοῦ τοῦ πράγματος μαθεῖν. Λεωδάμαντι
and from itself the matter to-learn to-Leodamas

γὰρ συμφέρει τοῦτον δοκιμασθῆναι, οὕτω γὰρ ὑμεῖς
for it-is-advantageous this(-man) to-be-approved so for you
μάλιστα διαβληθήσεσθε, καὶ δόξετε ἀντὶ δημοτικῶν
most will-be-slandered and will-seem instead-of democratic
ἀνθρώπων ὀλιγαρχικοὺς εἰς τὰς ἀρχὰς καθιστάναι· ὑμῖν
men oligarchic(-men) into the offices to-appoint for-you
δὲ τόνδε ἀποδοκιμάσαι, δόξετε γὰρ κἀκεῖνον δικαίως
but this(-man) to-reject you-will-seem for also-him justly
ἀποδοκιμάσαι· ἐὰν δὲ μὴ τόνδε, οὐδ' ἐκεῖνον δικαίως.
to-have-rejected if but not this(-man) not-even him justly
Καίτοιγε αὐτὸν ἀκούω λέξειν ὡς οὐ περὶ αὐτοῦ 16
and-yet him I-hear to-be-going-to-say that not about himself
μόνον ἡ δοκιμασία ἐστίν, ἀλλὰ περὶ πάντων τῶν
only the scrutiny is but about all the(-men)
ἐν ἄστει μεινάντων, καὶ τοὺς ὅρκους καὶ τὰς συνθήκας
in town having-remained and the oaths and the agreements
ὑμᾶς ὑπομνήσειν, ὡς ἐκ τούτων προσληψόμενον αὐτὸν
you to-be-going-to-remind as from these(-things) going-to-win-over him
δοκιμαστὰς τοὺς ἐν ἄστει μείναντας. ἐγὼ δ' ὑπὲρ τοῦ
as-examiners the(-men) in town having-remained I but on-behalf-of the
πλήθους βραχέα πρὸς αὐτὸν εἰπεῖν βούλομαι, ὅτι ὁ δῆμος
majority briefly to him to-speak wish that the people
οὐ τὴν αὐτὴν γνώμην ἔχει περὶ πάντων τῶν ἐν ἄστει
not the same opinion has about all the(-men) in town
μεινάντων, ἀλλὰ περὶ μὲν τῶν τοιαῦτα ἐξαμαρτανόντων
having-remained but about indeed the(-men) such(-things) erring
οἵαν ἐγώ φημι δεῖν, περὶ δὲ τῶν ἄλλων τὴν ἐναντίαν.
such-as I say to-be-necessary about but the others the opposite
Τεκμήριον δέ· οὐ γὰρ ἐλάττους τούτων ἡ πόλις 17
proof(-is-this) and not for fewer of-these(-men) the city
τετίμηκε τῶν ἐπὶ Φυλὴν ἐλθόντων καὶ τὸν Πειραιᾶ
has-honored than-the(-men) to Phyle having-come and the Piraeus

καταλαβόντων. εἰκότως· τοὺς μὲν γὰρ ἴσασιν ὁποῖοί
having-seized reasonably the(-ones) indeed for they-know what-sort
τινες ἐν δημοκρατίᾳ μόνῃ γεγένηνται, ὁποῖοι δ' ἄν τινες
-of in democracy alone they-have-been what-sort but — -of
ἐν ὀλιγαρχίᾳ γένοιντο, οὔπω πεῖραν εἰλήφασι· παρὰ δὲ
in oligarchy they-would-be not-yet test they-have-taken from but
τούτων ἑκατέρας τῆς πολιτείας ἱκανὴν βάσανον ἔχουσιν,
these(-men) of-each the constitution sufficient test they-have
ὥστ' εἰκότως πιστεύειν.
so-that reasonably to-trust(-them)

18 Καὶ ἡγοῦνταί γε διὰ μὲν τοὺς τοιούτους
and they-think at-least because-of indeed the such(-men)
συλληφθέντας τότε ἀποθανεῖν, διὰ δὲ τοὺς ἄλλους
(those)-having-been-arrested then to-have-died because-of but the others
ἐκφυγεῖν, ἐπεὶ εἴ γε τὴν αὐτὴν γνώμην ἅπαντες ἔσχον,
to-have-escaped since if at-least the same opinion all had
οὔτ' ἂν φυγὴ οὔτ' ἂν κάθοδος οὔτ' ἄλλο οὐδὲν ἂν
neither — exile nor — return nor other anything —
τῶν γεγενημένων τῇ πόλει συνέβη.
of-the(-things) having-happened to-the city would-have-occurred

19 Ἀλλὰ καὶ ὃ ἄλογον δοκεῖ εἶναι παρά τισιν, ὅπως ποτὲ
but also what unreasonable seems to-be to some how ever
πολλοὶ ὄντες ὑπ' ὀλίγων τῶν ἐν Πειραιεῖ ἡττήθησαν,
many being by few the(-men) in Piraeus were-defeated
οὐδαμόθεν ἄλλοθεν ἢ ἐκ τῆς τούτων προνοίας γεγένηται·
from-nowhere else than from the of-these(-men) foresight has-it-come-about
οὗτοι γὰρ εἵλοντο μετὰ τῶν κατελθόντων πολιτεύεσθαι
these(-men) for chose with the(-men) having-returned to-be-citizens
μᾶλλον ἢ μετὰ τῶν τριάκοντα Λακεδαιμονίοις δουλεύειν.
rather than with the Thirty to-Lacedaemonians to-be-slaves

Τοιγάρτοι ἀντὶ τούτων αὐτοὺς ὁ δῆμος ταῖς 20
therefore in-return-for these(-things) them the people with-the
μεγίσταις τιμαῖς τετίμηκεν, ἱππαρχεῖν καὶ στρατηγεῖν
greatest honors has-honored to-command-the-cavalry and to-be-general
καὶ πρεσβεύειν ὑπὲρ αὑτῶν αἱρούμενοι· καὶ οὐδέποτε
and to-be-envoys on-behalf-of themselves choosing(-them) and never
αὐτοῖς μετεμέλησεν. καὶ διὰ μέν γε τοὺς πολλὰ
to-them it-was-regretted and because-of indeed at-least the(-men) many(-wrongs)
ἐξαμαρτόντας τὰς δοκιμασίας εἶναι ἐψηφίσαντο, διὰ δὲ
having-committed the scrutinies to-be they-voted because-of but
τοὺς μηδὲν τοιοῦτον πράξαντας τὰς συνθήκας ἐποιήσαντο.
the(-men) nothing such having-done the agreements they-made
τοσαῦτά σοι ἐγὼ ὑπὲρ τοῦ δήμου ἀποκρίνομαι.
so-much to-you I on-behalf-of the people answer
Ὑμέτερον δὴ ἔργον ἐστίν, ὦ ἄνδρες βουλευταί, σκέψασθαι 21
your indeed work it-is O men councilors to-consider
ποτέρῳ ἂν πιθόμενοι περὶ τῆς δοκιμασίας ταύτης
which(-of-two) — having-been-persuaded about the scrutiny this
ἄμεινον βουλεύσαισθε, πότερον ἐμοὶ ἢ Θρασυβούλῳ, ὃς αὐτῷ
better you-would-deliberate whether me or Thrasybulus who for-him
ἀπολογήσεται. περὶ μὲν οὖν ἐμοῦ ἢ τοῦ πατρὸς ἢ τῶν
will-plead about indeed then me or the father or the
προγόνων οὐδὲν οὗτος εἰπεῖν ἔξει εἰς μισοδημίαν, οὔτε
ancestors nothing this(-man) to-say will-be-able toward hatred-of-the-people neither
γὰρ ὡς ὀλιγαρχίας μετέσχον (ὕστερον γὰρ τῶν χρόνων
for that of-oligarchy I-shared later for than-the times
τούτων ἀνὴρ εἶναι ἐδοκιμάσθην), οὔθ' ὡς ὁ πατήρ (πρὸ
these a-man to-be I-was-approved nor that the father before
γὰρ τῶν στάσεων πολὺ ἐν Σικελίᾳ ἄρχων ἐτελεύτησεν)·
for the factions long in Sicily holding-command died

22 οὐδ᾽ ὡς οἱ πρόγονοι ὑπὸ τοῖς τυράννοις ἐγένοντο·
nor that the ancestors under the tyrants were
στασιάζοντες γὰρ πρὸς αὐτοὺς τὸν ἅπαντα χρόνον
quarreling for with them the whole time
διετέλεσαν. ἀλλὰ μὲν δὴ οὐδὲ τὴν οὐσίαν ἡμᾶς
they-continued but indeed indeed not-even the property us
ἐν τῷ πολέμῳ φήσει κτήσασθαι, εἰς δὲ τὴν πόλιν
in the war will-be-say to-have-acquired on but the city
οὐδὲν ἀνηλωκέναι· πᾶν γὰρ τοὐναντίον, ἐν εἰρήνῃ μὲν
nothing to-have-spent all for the-opposite in peace indeed
ὀγδοηκοντατάλαντος ἡμῶν ὁ οἶκος ἐγένετο, εἰς δὲ τὴν
worth-eighty-talents our the estate was for but the
τῆς πόλεως σωτηρίαν ἐν τῷ πολέμῳ ἅπας ἀνηλώθη.
of-the city safety in the war all was-spent
23 Ἐγὼ δὲ περὶ τούτου τρία ἔξω εἰπεῖν τηλικαῦτα τὸ
I but about this(-man) three(-things) will-be-able to-say so-great the
μέγεθος, ὥστ᾽ ἄξιον εἶναι ἕκαστον ἔργον θανάτου· πρῶτον
size that worthy to-be each deed of-death first
μὲν ὅτι τὴν ἐν Βοιωτοῖς πολιτείαν χρήματα λαβὼν
indeed that the in Boeotia constitution money having-taken
μετέστησε καὶ τῆς συμμαχίας ἡμᾶς ταύτης ἀπεστέρησεν,
he-changed and of-the alliance us this deprived
ἔπειτα ὅτι τὰς ναῦς προὔδωκε καὶ τὴν πόλιν περὶ
then that the ships he-betrayed and the city about
σωτηρίας βουλεύεσθαι πεποίηκεν,
safety to-deliberate he-has-made
24 ἔπειτα ὅτι παρὰ τῶν αἰχμαλώτων, οὓς αὐτὸς ἀπώλεσε,
then that from the prisoners whom himself ruined
τριάκοντα μνᾶς ἐσυκοφάντησεν, οὐ φάσκων αὐτοὺς
thirty minas he-extorted not claiming them
λύσεσθαι, εἰ μὴ τοῦτο αὐτῷ παρὰ σφῶν αὐτῶν
to-be-going-to-ransom if not this to-him from them- -selves

παράσχοιεν. συνειδότες οὖν ἡμῶν ἑκατέρῳ τὸν βίον, πρὸς
they-provided knowing then of-us each the life against
ταῦτα βουλεύεσθε ὁποτέρῳ χρὴ πιστεύειν περὶ τῆς
these-things deliberate in-which(-of-two) one-must to-trust about the
Εὐάνδρου δοκιμασίας, καὶ οὕτως οὐκ ἐξαμαρτήσεσθε.
of-Evander scrutiny and so not you-will-err

LYSIAS

ΚΑΤΑ ΕΠΙΚΡΑΤΟΥΣ ΚΑΙ ΤΩΝ ΣΥΜΠΡΕΣΒΕΥΤΩΝ ΕΠΙΛΟΓΟΣ

Against Epicrates

Epicrates and his fellow envoys are accused of taking bribes. These men used to tell the jurors that the city's pay would fail unless they convicted, yet they themselves profit from every wrong verdict. Another man was condemned for the same crime of which Epicrates was acquitted. Only by punishing the powerful can the city stop wrongdoers. Those who were poor in peace now pay war taxes and live in great houses on public money. The jurors should not pity them, but condemn Epicrates to the extreme penalty.

Κατηγόρηται μέν, ὦ ἄνδρες Ἀθηναῖοι, Ἐπικράτους 1
has-been-accused indeed O men Athenians Epicrates
ἱκανὰ καὶ τῶν συμπρεσβευτῶν· ἐνθυμεῖσθαι δὲ
sufficiently and the fellow-envoys to-consider but
χρὴ ὅτι πολλάκις ἠκούσατε τούτων λεγόντων,
one-must that often you-heard these(-men) saying
ὁπότε βούλοιντό τινα ἀδίκως ἀπολέσαι, ὅτι, εἰ μὴ
whenever they-wished someone unjustly to-destroy that if not
καταψηφιεῖσθε ὧν αὐτοὶ κελεύουσιν, ἐπιλείψει ὑμᾶς
you-will-condemn whom they-themselves bid will-fail you
ἡ μισθοφορά.
the pay
Καὶ νῦν οὐδὲν ἧττον ἐνδεῖ, ὥστε τὸ μὲν 2
and now no less is-it-lacking so-that the indeed
πάθος καὶ ἡ αἰσχύνη διὰ τούτων ὑμῖν
suffering and the disgrace because-of these(-men) to-you
γίγνεται, ἡ δ' ὠφέλεια τούτοις· πεπείρανται
comes the but benefit to-these(-men) they-have-learned
γὰρ ὅτι, ὁπόταν οὗτοι καὶ οἱ τούτων λόγοι
for that whenever these(-men) and the of-these(-men) words
δοκῶσιν αἴτιοι εἶναι ψηφίζεσθαι ὑμᾶς παρὰ τὸ
seem causes to-be to-vote you against the

δίκαιον, ῥᾳδίως παρὰ τῶν ἀδικούντων χρήματα
just easily from the(-men) doing-wrong money
λαμβάνουσι.
they-take

3 Καίτοι τίνα χρὴ ἐλπίδα ἔχειν σωτηρίας, ὁπόταν
and-yet what must-one hope to-have of-safety whenever
ἐν χρήμασιν ᾖ καὶ σωθῆναι τῇ πόλει καὶ μή,
in money it-is both to-be-saved for-the city and not
ταῦτα δὲ οὗτοι, φύλακες ὑφ' ὑμῶν καταστάντες,
these-things but these(-men) guardians by you appointed
οἱ τῶν ἀδικούντων κολασταί, κλέπτωσί
the(-men) of-the(-men) doing-wrong punishers steal
τε καὶ καταδωροδοκῶσι; καὶ οὐ νῦν πρῶτον
both and take-bribes and not now first
ὤφθησαν ἀδικοῦντες, ἀλλὰ καὶ πρότερον ἤδη δώρων
they-were-seen doing-wrong but also before already for-bribes
ἐκρίθησαν.
they-were-tried

4 Ὃ καὶ ὑμῖν ἔχω ἐπικαλέσαι ὅτι τοῦ αὐτοῦ
which also to-you I-can to-charge that for-the same
ἀδικήματος †Ὀνομάσαντος μὲν κατεψηφίσασθε, τούτου
offense Onomasas indeed you-condemned this(-man)
δὲ ἀπεψηφίσασθε, τοῦ αὐτοῦ ἀνδρὸς ἁπάντων
but you-acquitted the same man all
κατηγοροῦντος καὶ τῶν αὐτῶν καταμαρτυρούντων,
accusing and the same(-men) testifying
οἳ οὐχ ἑτέρων ἤκουσαν, ἀλλ' αὐτοὶ ἦσαν οἱ
who not from-others heard but themselves were the(-men)
περὶ τῶν χρημάτων καὶ τῶν δώρων πρὸς τούτους
about the money and the bribes with these(-men)
πράττοντες.
dealing

Καίτοι τοῦτο ἅπαντες ἐπίστασθε, ὅτι οὐχ ὅταν 5
and-yet this all know that not whenever
τοὺς μὴ δυναμένους λέγειν κολάζητε, τότε
the(-men) not able to-speak you-punish then
ἔσται παράδειγμα τοῦ μὴ ὑμᾶς ἀδικεῖν, ἀλλ᾽
will-be an-example of-the not you to-wrong but
ὁπόταν παρὰ τῶν δυναμένων δίκην λαμβάνητε,
whenever from the(-men) able penalty you-exact
τότε πάντες παύσονται ἐπιχειροῦντες εἰς ὑμᾶς
then all will-stop attempting against you
ἐξαμαρτάνειν.
to-err
Νῦν δ᾽ ἀσφαλῶς αὐτοῖς ἔχει τὰ ὑμέτερα κλέπτειν. 6
now but safely for-them it-is the your(-goods) to-steal
ἂν μὲν γὰρ λάθωσιν, ἀδεῶς αὐτοῖς ἔξουσι
if indeed for they-escape-notice without-fear them they-will-be-able
χρῆσθαι· ἂν δὲ ὀφθῶσιν, ἢ μέρει τῶν
to-use if but they-are-seen either with-a-part of-the
ἀδικημάτων τὸν κίνδυνον ἐξεπρίαντο, ἢ εἰς ἀγῶνα
wrongs the danger they-buy-off or into trial
καταστάντες τῇ αὑτῶν δυνάμει ἐσώθησαν. νῦν
having-come by-the their-own power are-saved now
τοίνυν, ὦ ἄνδρες δικασταί, παράδειγμα ποιήσατε
then O men jurors an-example make
τοῖς ἄλλοις δικαίοις εἶναι, παρὰ τούτων δίκην
for-the others just to-be from these(-men) penalty
λαβόντες.
having-exacted
Ἥκουσι δὲ πάντες οἱ τὰ τῆς πόλεως πράττοντες 7
have-come and all the(-men) the(-affairs) of-the city managing
οὐχ ἡμῶν ἀκροασόμενοι, ἀλλ᾽ ὑμᾶς εἰσόμενοι ἥντινα
not us going-to-hear but you going-to-know what

γνώμην περὶ τῶν ἀδικούντων ἕξετε. ὥστ᾽ εἰ μὲν
opinion about the(-men) doing-wrong you-will-have so-that if indeed
ἀποψηφιεῖσθε τούτων, οὐδὲν δεινὸν δόξει αὐτοῖς εἶναι
you-will-acquit these(-men) nothing terrible will-seem to-them to-be
ὑμᾶς ἐξαπατήσαντας ἐκ τῶν ὑμετέρων ὠφελεῖσθαι·
you having-deceived from the your(-goods) to-profit
ἐὰν δὲ καταψηφισάμενοι θανάτου τιμήσητε, τῇ
if but having-condemned(-them) to-death you-assess(-them) with-the
αὐτῇ ψήφῳ τούς τε ἄλλους κοσμιωτέρους ποιήσετε
same vote the both others more-orderly you-will-make
ἢ νῦν εἰσι, καὶ παρὰ τούτων δίκην εἰληφότες
than now they-are and from these(-men) penalty having-exacted
ἔσεσθε.
you-will-be

8 Ἡγοῦμαι δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ᾽ εἰ μὴ προθέντες
I-think and O men Athenians not-even if not having-offered
αὐτοῖς κρίσιν, ἢ ἀπολογουμένων μὴ ἐθελήσαντες ἀκοῦσαι,
them a-trial or them-defending-themselves not having-been-willing to-hear
καταψηφισάμενοι τῶν ἐσχάτων τιμήσαιτε, οὐκ ἂν
having-condemned(-them) to-the extreme(-penalty) you-were-to-assess not —
ἀκρίτους αὐτοὺς ἀπολωλέναι, ἀλλὰ τὴν προσήκουσαν
untried them to-have-perished but the fitting
δίκην δεδωκέναι. οὐ γὰρ οὗτοι ἄκριτοί εἰσι, περὶ
penalty to-have-paid not for these(-men) untried are about
ὧν ἂν ὑμεῖς εἰδότες τὰ πραχθέντα ψηφίσησθε,
whom — you knowing the(-things) done vote
ἀλλ᾽ οἵτινες ἂν ὑπὸ τῶν ἐχθρῶν διαβληθέντες περὶ
but those-who — by the enemies slandered about
ὧν ὑμεῖς μὴ ἴστε, ἀκροάσεως μὴ τύχωσι.
what(-things) you not know a-hearing not obtain

τούτων δὲ τὰ μὲν πράγματα κατηγορεῖ, ἡμεῖς δὲ
of-these(-men) but the indeed facts accuse we but
καταμαρτυροῦμεν·
testify-against(-them)
καὶ οὐ τοῦτο δέδοικα, ὡς ἐὰν ἀκροᾶσθε αὐτῶν 9
and not this I-fear that if you-hear them
ἀποψηφιεῖσθε· ἀλλ᾽ οὐκ ἂν ἡγοῦμαι αὐτοὺς δίκην ἀξίαν
you-will-acquit but not — I-think them penalty worthy
δεδωκέναι, εἰ ἀκροασάμενοι αὐτῶν καταψηφίσαισθε.
to-have-paid if having-heard them you-should-condemn(-them)
πῶς γάρ, ὦ ἄνδρες δικασταί, οἷς οὐδὲ
how for O men jurors to-whom not-even
ταὐτὰ καὶ ὑμῖν συμφέρει; οὗτοι μὲν γὰρ
the-same-things as to-you are-advantageous these(-men) indeed for
ἐν τῷ πολέμῳ ἐκ πενήτων πλούσιοι γεγόνασιν
in the war from poor rich have-become
ἐκ τῶν ὑμετέρων, ὑμεῖς δὲ διὰ τούτους
from the your(-goods) you but because-of these(-men)
πένητες.
poor
Καίτοι οὐ ταῦτα ἀγαθῶν δημαγωγῶν ἐστι, τὰ 10
and-yet not these-things of-good demagogues is the
ὑμέτερα ἐν ταῖς ὑμετέραις συμφοραῖς λαμβάνειν,
your(-goods) in the your misfortunes to-take
ἀλλὰ τὰ ἑαυτῶν ὑμῖν διδόναι. καὶ γάρ τοι
but the(-goods) their-own to-you to-give and for surely
εἰς τοσοῦτον ἥκομεν, ὥσθ᾽ οἳ πρότερον ἐν τῇ
to so-much we-have-come that who before in the
εἰρήνῃ οὐδὲ σφᾶς αὐτοὺς ἐδύναντο τρέφειν, νῦν ὑμῖν
peace not-even them- -selves were-able to-support now to-you

εἰσφορὰς εἰσφέρουσι καὶ χορηγοῦσι καὶ οἰκίας μεγάλας
property-taxes contribute and serve-as-choregi and houses great
οἰκοῦσι.
inhabit

11 Καίτοι ἑτέροις ὑμεῖς ἔστιν ὅτε τὰ πατρῷα
and-yet others you there-is(-a-time) when the paternal(-goods)
κεκτημένοις ταῦτα ποιοῦσιν ἐφθονεῖτε· νῦν δ'
having-acquired these-things doing envied now but
οὕτως ἡ πόλις διάκειται, ὥστε οὐκέτι ὧν
so the city is-disposed that no-longer at-what(-things)
οὗτοι κλέπτουσιν ὀργίζεσθε, ἀλλ' ὧν
these(-men) steal are-you-angry but for-what(-things)
αὐτοὶ λαμβάνετε χάριν ἴστε, ὥσπερ ὑμεῖς τὰ
yourselves receive gratitude you-feel as-if you the(-goods)
τούτων μισθοφοροῦντες, ἀλλ' οὐ τούτων τὰ ὑμέτερα
of-these(-men) drawing-pay but not these(-men) the your(-goods)
κλεπτόντων.
stealing

12 Τὸ δὲ πάντων ὑπερφυέστατον, ὅτι ἐν μὲν τοῖς
the and of-all most-monstrous(-thing) that in indeed the
ἰδίοις οἱ ἀδικούμενοι δακρύουσι καὶ ἐλεινοί εἰσιν,
private(-cases) the(-men) wronged weep and pitiable are
ἐν δὲ τοῖς δημοσίοις οἱ μὲν ἀδικοῦντες ἐλεινοί,
in but the public(-cases) the(-men) indeed doing-wrong pitiable(-are)
ὑμεῖς δ' οἱ ἀδικούμενοι ἐλεεῖτε. καὶ νῦν ἴσως
you but the(-men) wronged pity(-them) and now perhaps
ποιήσουσιν ἅπερ καὶ πρότερον ἦσαν εἰθισμένοι καὶ
they-will-do what-very also before they-were accustomed both
δημόται καὶ φίλοι, κλάοντες ἐξαιτεῖσθαι αὐτοὺς παρ'
demesmen and friends weeping to-beg-off them from
ὑμῶν.
you

Ἐγὼ δ’ οὕτως ἀξιῶ γενέσθαι· εἰ μὲν ἀδικεῖν 13
I but so think-it-right to-happen if indeed to-do-wrong
τούτους μηδὲν νομίζουσιν, ἀποδείξαντας ὡς ψευδῆ τὰ
these(-men) nothing they-think having-shown that false the(-things)
κατηγορημένα, οὕτως πείθειν ὑμᾶς ἀποψηφίσασθαι·
charged so to-persuade you to-acquit(-them)
εἰ δὲ νομίσαντες ἀδικεῖν αἰτήσονται, δῆλον ὅτι
if but thinking(-them) to-do-wrong they-will-ask clear that
τοῖς ἀδικοῦσιν εὐνούστεροί εἰσιν ἢ ὑμῖν τοῖς
to-the(-men) doing-wrong more-well-disposed they-are than to-you the(-men)
ἀδικουμένοις, ὥστ’ οὐ χάριτος ἄξιοι τυχεῖν ἀλλὰ
wronged so-that not of-gratitude worthy to-obtain(-are-they) but
τιμωρίας,
of-punishment
ὁπόταν ὑμεῖς δύνησθε. ἔτι δὲ τοὺς αὐτοὺς ἡγεῖσθαι 14
whenever you are-able further and the same(-men) to-think
χρὴ καὶ τῶν κατηγόρων σφόδρα δεδεῆσθαι, νομίζοντας
one-must also the accusers urgently to-have-entreated thinking
πολὺ ἂν θᾶττον παρ’ ἡμῶν ὀλίγων ὄντων ταύτην
much — sooner from us few being this
τὴν χάριν λαμβάνειν ἢ παρ’ ὑμῶν, ἔτι δὲ ῥᾷον
the favor to-get than from you further and easier
ἄλλους τινὰς τὰ ὑμέτερα καταχαρίζεσθαι ἢ ὑμᾶς αὐτούς
others some the your(-goods) to-give-away than you yourselves
γε.
at-least
Ἡμεῖς μὲν τοίνυν οὐκ ἠθελήσαμεν προδοῦναι, ἀξιοῦμεν 15
we indeed then not were-willing to-betray(-you) we-think-it-right
δὲ μηδ’ ὑμᾶς, ἐνθυμουμένους ὅτι σφόδρ’ ἂν ἡμῖν
but not-even you(-to-betray-us) considering that vehemently — with-us
ὠργίζεσθε καὶ ἐτιμωρεῖσθε, ὅπου παρεπίπτομεν, ὡς
you-would-be-angry and would-punish(-us) wherever we-fell-in-with(-you) as

εἰκὸς τοὺς ἀδικοῦντας, εἰ ἡμεῖς παρὰ τούτων
reasonable(-is-it) the(-men) doing-wrong if we from these(-men)
ἢ χρήματα λαβόντες ἢ ἄλλῳ τινὶ τρόπῳ διηλλάγημεν.
either money having-taken or by-other some manner were-reconciled
καίτοι εἰ τοῖς μὴ δικαίως ἐπεξιοῦσιν ὀργίζεσθε,
and-yet if with-the(-men) not justly prosecuting you-are-angry
ἦ που σφόδρα χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας
surely I-suppose vehemently one-must themselves the(-men) doing-wrong
τιμωρεῖσθαι.
to-punish

16 Νῦν τοίνυν, ὦ ἄνδρες δικασταί, καταψηφισάμενοι
now then O men jurors having-condemned
Ἐπικράτους τῶν ἐσχάτων τιμήσατε, καὶ μή,
Epicrates to-the extreme(-penalty) assess(-him) and not
ὥσπερ ἐν τῷ τέως χρόνῳ εἰθισμένοι ἐστέ, ἐπειδὰν
as in the before time accustomed you-are when
καταψηφισάμενοι ἐξελέγξητε τοὺς ἀδικοῦντας, ἐν τῷ
having-condemned(-them) you-convict the(-men) doing-wrong in the
τιμήματι ἀζημίους ἀφίετε, ἔχθραν, οὐ δίκην παρὰ
assessment unpunished release(-them) enmity not penalty from
τῶν ἀδικούντων λαμβάνοντες, ὥσπερ τοῦ ὀνείδους
the(-men) doing-wrong getting as-if for-the disgrace
ἀλλ᾽ οὐ τῆς ζημίας αὐτοῖς μέλον, εὖ εἰδότες ὅτι
but not for-the penalty to-them it-mattering well knowing that
ἐν μὲν τῇ ψήφῳ οὐδὲν ἄλλο ποιεῖτε ἢ ὀνειδίζετε
in indeed the vote nothing other you-do than reproach
τοῖς ἀδικοῦσιν, ἐν δὲ τῷ τιμήματι τιμωρεῖσθε τοὺς
the(-men) doing-wrong in but the assessment you-punish the(-men)
ἐξαμαρτάνοντας.
erring

LYSIAS

ΚΑΤΑ ΕΡΓΟΚΛΕΟΥΣ ΕΠΙΛΟΓΟΣ

Against Ergocles

I · AGAINST ERGOCLES

Ergocles, who served under Thrasybulus, betrayed cities, wronged the city's friends, and grew rich from public money while the fleet fell apart for lack of funds. When the people voted that the commanders render accounts, he urged Thrasybulus to seize Byzantium, keep the ships, and marry Seuthes' daughter. Thrasybulus did well to die as he did, since he should neither live plotting such deeds nor be put to death by the people. The jurors must show that no amount of money can save a wrongdoer, punish Ergocles to warn other commanders, and not let him buy his acquittal.

Τὰ μὲν κατηγορημένα οὕτως ἐστὶ πολλὰ καὶ 1
the(-things) indeed charged so are many and
δεινά, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε οὐκ ἄν μοι δοκεῖ
terrible O men Athenians that not — to-me it-seems
δύνασθαι Ἐργοκλῆς ὑπὲρ ἑνὸς ἑκάστου τῶν
to-be-able Ergocles for one each of-the(-things)
πεπραγμένων αὐτῷ πολλάκις ἀποθανὼν δοῦναι δίκην ἀξίαν
done by-him many-times dying to-pay penalty worthy
τῷ ὑμετέρῳ πλήθει. καὶ γὰρ πόλεις προδεδωκὼς
to-the your majority and for cities having-betrayed
φαίνεται, καὶ προξένους καὶ πολίτας ὑμετέρους
he-is-shown and proxenoi and citizens your
ἠδικηκώς, καὶ ἐκ πένητος ἐκ τῶν ὑμετέρων πλούσιος
having-wronged and from poor from the your(-goods) rich
γεγενημένος.
having-become

Καίτοι πῶς αὐτοῖς χρὴ συγγνώμην ἔχειν, ὅταν 2
and-yet how to-them is-it-right pardon to-have when
ὁρᾶτε τὰς μὲν ναῦς, ὧν ἦρχον οὗτοι,
you-see the indeed ships which commanded these(-men)
δι' ἀπορίαν χρημάτων καταλυομένας καὶ ἐκ
because-of lack of-money being-broken-up and from

πολλῶν ὀλίγας γιγνομένας, τούτους δὲ πένητας
many few becoming these(-men) but poor
καὶ ἀπόρους ἐκπλεύσαντας οὕτως ταχέως πλείστην
and needy having-sailed-out so quickly greatest
τῶν πολιτῶν οὐσίαν κεκτημένους; ὑμέτερον τοίνυν
of-the citizens property having-acquired yours then
ἔργον ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τοῖς τοιούτοις
work it-is O men Athenians at the such(-men)
ὀργίζεσθαι·
to-be-angry

3 καὶ γὰρ δὴ δεινὸν ἂν εἴη, εἰ νῦν μὲν οὕτως
and for indeed terrible — would-it-be if now indeed so
αὐτοὶ πιεζόμενοι ταῖς εἰσφοραῖς συγγνώμην τοῖς
yourselves being-pressed by-the property-taxes pardon to-the(-men)
κλέπτουσι καὶ τοῖς δωροδοκοῦσιν ἔχοιτε, ἐν
stealing and to-the(-men) taking-bribes you-were-to-have in
δὲ τῷ τέως χρόνῳ, καὶ τῶν οἴκων τῶν ὑμετέρων
but the before time both the estates the your
μεγάλων ὄντων καὶ τῶν δημοσίων προσόδων μεγάλων
great being and the public revenues great
οὐσῶν, θανάτῳ ἐκολάζετε τοὺς τῶν ὑμετέρων
being with-death you-punished the(-men) the your(-goods)
ἐπιθυμοῦντας.
desiring

4 Οἶμαι δ' ἔγωγε πάντας ἂν ὑμᾶς ὁμολογῆσαι,
I-think and I-for-my-part all — you to-agree
εἰ ὑμῖν Θρασύβουλος ἐπηγγέλλετο τριήρεις ἔχων
if to-you Thrasybulus had-announced triremes having
ἐκπλεύσεσθαι καὶ ταύτας παλαιὰς ἀντὶ καινῶν
to-be-going-to-sail-out and these old instead-of new
παραδώσειν, καὶ τοὺς μὲν κινδύνους ὑμετέρους
to-be-going-to-hand-over and the indeed dangers yours

ἔσεσθαι, τὰς δ' ὠφελείας τῶν αὑτοῦ φίλων,
to-be-going-to-be the but benefits of-the his-own friends
καὶ ὑμᾶς μὲν διὰ τὰς εἰσφορὰς πενεστέρους
and you indeed because-of the property-taxes poorer
ἀποδείξειν, Ἐργοκλέα δὲ καὶ τοὺς κόλακας τοὺς
to-be-going-to-render Ergocles but and the flatterers the
αὑτοῦ πλουσιωτάτους τῶν πολιτῶν ποιήσειν,
his-own richest of-the citizens to-be-going-to-make
οὐδένα ἂν ὑμῶν ἐπιτρέψαι τὰς ναῦς ἐκεῖνον ἔχοντα
none — of-you to-permit the ships him having
ἐκπλεῦσαι,
to-sail-out
ἄλλως τε ἐπειδή, ὡς τάχιστα ὑμεῖς ἐψηφίσασθε 5
otherwise both since as soon-as you voted
τὰ χρήματα ἀπογράψαι τὰ ἐκ τῶν πόλεων
the money to-register the(-sums) from the cities
εἰλημμένα καὶ τοὺς ἄρχοντας τοὺς μετ' ἐκείνου
taken and the commanders the(-ones) with him
καταπλεῖν εὐθύνας δώσοντας, Ἐργοκλῆς ἔλεγεν ὡς
to-sail-home audits going-to-render Ergocles said that
ἤδη συκοφαντεῖτε καὶ τῶν ἀρχαίων νόμων ἐπιθυμεῖτε,
already you-are-blackmailing and the ancient laws desire
καὶ Θρασυβούλῳ συνεβούλευε Βυζάντιον καταλαβεῖν
and to-Thrasybulus he-advised Byzantium to-seize
καὶ τὰς ναῦς ἔχειν καὶ τὴν Σεύθου θυγατέρα
and the ships to-keep and the of-Seuthes daughter
γαμεῖν·
to-marry
'ἵνα αὐτῶν ἐκκόψῃς' ἔφη 'τὰς συκοφαντίας· ποιήσεις 6
so-that of-them you-may-cut-off he-said the blackmailings you-will-make
γὰρ αὐτοὺς οὐκ ἐπιβουλεύοντας σοὶ καθῆσθαι καὶ τοῖς
for them not plotting-against you to-sit and against-the

σοῖς φίλοις, ἀλλὰ περὶ αὑτῶν δεδιέναι.᾽ οὕτως, ὦ
your friends but about themselves to-fear so O
ἄνδρες Ἀθηναῖοι, ἐπειδὴ τάχιστα ἐνέπλητο καὶ τῶν
men Athenians as soon-as they-were-sated and of-the
ὑμετέρων ἀπέλαυσαν, ἀλλοτρίους τῆς πόλεως αὑτοὺς
your(-goods) had-enjoyed strangers to-the city themselves
ἡγήσαντο.
they-considered

7 Ἅμα γὰρ πλουτοῦσι καὶ ὑμᾶς μισοῦσι, καὶ οὐκέτι
at-the-same-time for they-are-rich and you hate and no-longer
ὡς ἀρξόμενοι παρασκευάζονται ἀλλ᾽ ὡς ὑμῶν ἄρξοντες,
as going-to-be-ruled do-they-prepare but as over-you going-to-rule
καὶ δεδιότες ὑπὲρ ὧν ὑφῄρηνται ἕτοιμοί εἰσι
and fearing for what(-things) they-have-stolen ready they-are
καὶ χωρία καταλαμβάνειν καὶ ὀλιγαρχίαν καθιστάναι
both strongholds to-seize and oligarchy to-establish
καὶ πάντα πράττειν ὅπως ὑμεῖς ἐν τοῖς δεινοτάτοις
and all(-things) to-do so-that you in the most-terrible
κινδύνοις καθ᾽ ἑκάστην ἡμέραν ἔσεσθε· οὕτως γὰρ
dangers by each day will-be so for
ἡγοῦνται οὐκέτι τοῖς σφετέροις αὐτῶν ἁμαρτήμασι
they-think no-longer to-the their- -own offenses
τὸν νοῦν ὑμᾶς προσέξειν, ἀλλ᾽ ὑπὲρ ὑμῶν αὐτῶν
the mind you to-be-going-to-apply but for your- -selves
καὶ τῆς πόλεως ὀρρωδοῦντας ἡσυχίαν πρὸς τούτους
and the city fearing quiet toward these(-men)
ἕξειν.
to-be-going-to-keep

8 Θρασύβουλος μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, (οὐδὲν γὰρ
Thrasybulus indeed then O men Athenians nothing for
δεῖ περὶ αὐτοῦ πλείω λέγειν) καλῶς ἐποίησεν
it-is-necessary about him more to-say well did

οὕτως τελευτήσας τὸν βίον· οὐ γὰρ ἔδει αὐτὸν
so having-ended the life not for it-was-right him
οὔτε ζῆν τοιούτοις ἔργοις ἐπιβουλεύοντα, οὔθ' ὑφ'
either to-live such deeds plotting or by
ὑμῶν ἀποθανεῖν ἤδη τι δοκοῦντα ὑμᾶς ἀγαθὸν
you to-die already some seeming you good
πεποιηκέναι, ἀλλὰ τοιούτῳ τρόπῳ τῆς πόλεως
to-have-done but in-such manner from-the city
ἀπαλλαγῆναι.
to-be-released

Ὁρῶ δ' αὐτοὺς διὰ τὴν πρώην ἐκκλησίαν οὐκέτι 9
I-see but them because-of the recent assembly no-longer
φειδομένους τῶν χρημάτων, ἀλλ' ὠνουμένους τὰς αὑτῶν
sparing the money but buying the their-own
ψυχὰς καὶ παρὰ τῶν λεγόντων καὶ παρὰ τῶν ἐχθρῶν
lives both from the speakers and from the enemies
καὶ παρὰ τῶν πρυτάνεων, καὶ πολλοὺς Ἀθηναίων
and from the prytaneis and many of-Athenians
ἀργυρίῳ διαφθείροντας. ὑπὲρ ὧν ὑμῖν ἄξιόν ἐστιν
with-money corrupting for which(-things) for-you worthy it-is
ἀπολογήσασθαι παρὰ τούτου νῦν δίκην λαβοῦσι, καὶ
to-defend-yourselves from this(-man) now penalty having-exacted and
πᾶσιν ἀνθρώποις ἐπιδεῖξαι ὅτι οὐκ ἔστι τοσαῦτα χρήματα,
to-all men to-show that not there-is so-much money
ὧν ὑμεῖς ἡττήσεσθε ὥστε μὴ τιμωρεῖσθαι τοὺς
by-which you will-be-overcome so-as not to-punish the(-men)
ἀδικοῦντας.
doing-wrong

Ἐνθυμεῖσθε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐκ Ἐργοκλῆς 10
consider for O men Athenians that not Ergocles
μόνος κρίνεται, ἀλλὰ καὶ ἡ πόλις ὅλη. νυνὶ γὰρ
alone is-tried but also the city whole now for

τοῖς ἄρχουσι τοῖς ὑμετέροις ἐπιδείξετε πότερον χρὴ
to-the commanders the your you-will-show whether one-must
δικαίους εἶναι, ἢ ὡς πλεῖστα τῶν ὑμετέρων ὑφελομένους
just to-be or as most of-the your(-goods) having-stolen
τῷ αὐτῷ τρόπῳ τὴν σωτηρίαν παρασκευάζεσθαι, ὥπερ
in-the same manner the safety to-procure as-very
οὗτοι νυνὶ πειρῶνται. καίτοι εὖ εἰδέναι χρή, ὦ ἄνδρες
these(-men) now are-trying and-yet well to-know one-must O men
Ἀθηναῖοι·
Athenians

11 ὅστις ἐν τοσαύτῃ ἀπορίᾳ τῶν ὑμετέρων πραγμάτων
whoever in such distress of-the your affairs
ἢ πόλεις προδίδωσιν ἢ χρήματα κλέπτειν ἢ
either cities betrays or money to-steal or
δωροδοκεῖν ἀξιοῖ, οὗτος καὶ τὰ τείχη καὶ τὰς
to-take-bribes thinks-fit this(-man) also the walls and the
ναῦς τοῖς πολεμίοις παραδίδωσι καὶ ὀλιγαρχίαν ἐκ
ships to-the enemies hands-over and oligarchy from
δημοκρατίας καθίστησιν· ὥστ' οὐκ ἄξιον ὑμῖν τῆς
democracy establishes so-that not worthy(-is-it) for-you by-the
τούτων παρασκευῆς ἡττᾶσθαι, ἀλλὰ παράδειγμα πᾶσιν
of-these(-men) preparation to-be-overcome but an-example to-all
ἀνθρώποις ποιῆσαι καὶ μήτε κέρδος μήτ' ἔλεον μήτ'
men to-make and neither gain nor pity nor
ἄλλο μηδὲν περὶ πλείονος ποιήσασθαι τῆς τούτων
other anything of more to-make than-the of-these(-men)
τιμωρίας.
punishment

12 Οἶμαι δ' Ἐργοκλέα, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ μὲν
I-think and Ergocles O men Athenians about indeed
Ἁλικαρνασσοῦ καὶ περὶ τῆς ἀρχῆς καὶ περὶ τῶν αὐτῷ
Halicarnassus and about the office and about the(-things) by-him

πεπραγμένων οὐκ ἐπιχειρήσειν ἀπολογεῖσθαι, ἐρεῖν
done not to-be-going-to-attempt to-defend-himself to-be-going-to-say
δὲ ὡς ἀπὸ Φυλῆς κατῆλθε καὶ ὡς δημοτικός ἐστι καὶ
but that from Phyle he-returned and that democratic he-is and
ὡς τῶν κινδύνων τῶν ὑμετέρων μετέσχεν. ἐγὼ δέ, ὦ
that the dangers the your he-shared I but O
ἄνδρες Ἀθηναῖοι, οὐ τὴν αὐτὴν γνώμην ἔχω περὶ τῶν
men Athenians not the same opinion have about the
τοιούτων,
such(-men)
ἀλλ᾽ ὅσοι μὲν ἐλευθερίας καὶ τοῦ δικαίου ἐπιθυμοῦντες 13
but as-many-as indeed freedom and the just desiring
καὶ τοὺς νόμους ἰσχύειν βουλόμενοι καὶ τοὺς ἀδικοῦντας
and the laws to-have-force wishing and the(-men) doing-wrong
μισοῦντες τῶν ὑμετέρων κινδύνων μετέσχον, οὐ πονηροὺς
hating the your dangers shared not bad
εἶναι πολίτας, οὐδὲ ἀδίκως τούτοις φημὶ ἂν εἶναι
to-be citizens nor unjustly to-these(-men) I-say — to-be
ὑπόλογον τὴν ἐκείνων φυγήν· ὅσοι δὲ κατελθόντες
to-their-credit the of-those exile as-many-as but having-returned
ἐν δημοκρατίᾳ τὸ μὲν ὑμέτερον πλῆθος ἀδικοῦσι, τοὺς
in democracy the indeed your majority wrong the
δὲ ἰδίους οἴκους ἐκ τῶν ὑμετέρων μεγάλους ποιοῦσι,
but private estates from the your(-goods) great make
πολὺ μᾶλλον αὐτοῖς προσήκει ὀργίζεσθαι ἢ τοῖς
much more with-them it-befits to-be-angry than with-the
τριάκοντα.
Thirty
Οἱ μὲν γὰρ ἐπὶ τοῦτ᾽ ἐχειροτονήθησαν, ἵνα 14
the(-ones) indeed for for this were-elected so-that
κακῶς, εἴ πῃ δύναιντο, ὑμᾶς ποιήσειαν· τούτοις δ᾽
badly if somehow they-could you they-might-treat to-these(-men) but

ὑμᾶς αὐτοὺς ἐπετρέψατε, ὡς μεγάλην καὶ ἐλευθέραν
your- -selves you-entrusted so-that great and free
τὴν πόλιν ποιήσωσιν· ὧν ὑμῖν οὐδὲν ἀποβέβηκεν,
the city they-might-make of-which for-you nothing has-turned-out
ἀλλὰ τὸ ἐπὶ τούτοις εἶναι ἐν τοῖς δεινοτάτοις
but the(-part) on these(-men) to-be in the most-terrible
κινδύνοις καθεστήκατε, ὥστε πολὺ ἂν δικαιότερον ὑμᾶς
dangers you-have-been-placed so-that much — more-justly your-
αὐτοὺς ἢ τούτους ἐλεοῖτε, καὶ τοὺς ὑμετέρους
-selves than these(-men) you-would-pity and the your
παῖδας καὶ γυναῖκας, ὅτι ὑπὸ τοιούτων ἀνδρῶν
children and wives because by such men
λυμαίνεσθε.
you-are-being-ruined

15 Ὅταν γὰρ ἡγησώμεθα σωτηρίας ἀντειλῆφθαι, δεινότερα
whenever for we-think safety to-have-grasped more-terrible(-things)
ὑπὸ τῶν ἡμετέρων ἀρχόντων πάσχομεν ἢ ὑπὸ
by the our commanders we-suffer than by
τῶν πολεμίων. καίτοι πάντες ἐπίστασθε ὅτι οὐδεμία
the enemies and-yet all know that no
ἐλπὶς σωτηρίας ὑμῖν δυστυχήσασιν. ὥστε
hope(-is-there) of-safety for-you having-been-unfortunate so-that
ἄξιον ὑμᾶς παρακελευσαμένους ὑμῖν αὐτοῖς παρὰ
worthy(-is-it) you having-exhorted your- -selves from
τούτων νυνὶ τὴν μεγίστην δίκην λαβεῖν, καὶ τοῖς
these(-men) now the greatest penalty to-exact and to-the
ἄλλοις Ἕλλησιν ἐπιδεῖξαι ὡς τοὺς ἀδικοῦντας
other Greeks to-show that the(-men) doing-wrong
τιμωρεῖσθε, καὶ τοὺς ὑμετέρους ἄρχοντας βελτίους
you-punish and the your commanders better
ποιήσετε.
you-will-make

Ἐγὼ μὲν οὖν ταῦθ' ὑμῖν παρακελεύομαι· ὑμᾶς δὲ 16
I indeed then these-things to-you urge you but
χρὴ εἰδέναι ὅτι, ἂν μὲν ἐμοὶ πεισθῆτε, εὖ περὶ
one-must to-know that if indeed me you-obey well about
αὑτῶν βουλεύσεσθε, εἰ δὲ μή, χείροσι τοῖς ἄλλοις
yourselves you-will-deliberate if but not worse the other
πολίταις χρήσεσθε. ἔτι δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ἂν
citizens you-will-have further and O men Athenians if
αὐτῶν ἀποψηφίσησθε, οὐδεμίαν ὑμῖν εἴσονται χάριν,
them you-acquit no for-you will-they-feel gratitude
ἀλλὰ τοῖς ἀνηλωμένοις καὶ τοῖς χρήμασιν οἷς
but to-the(-sums) spent and to-the money which
ὑφῄρηνται· ὥστε τὴν μὲν ἔχθραν ὑμῖν αὐτοῖς
they-have-stolen so-that the indeed enmity for-your- -selves
καταλείψετε, τῆς δὲ σωτηρίας ἐκείνοις εἴσονται
you-will-leave for-the but safety to-those they-will-feel
χάριν.
gratitude

Καὶ μὲν δή, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Ἁλικαρνασσεῖς 17
and indeed indeed O men Athenians also Halicarnassians
καὶ οἱ ἄλλοι οἱ ὑπὸ τούτων ἠδικημένοι, ἐὰν
and the others the(-men) by these(-men) wronged if
μὲν παρὰ τούτων τὴν μεγίστην δίκην λάβητε,
indeed from these(-men) the greatest penalty you-exact
νομιοῦσιν ὑπὸ τούτων μὲν ἀπολωλέναι, ὑμᾶς δὲ
will-think by these(-men) indeed to-have-been-ruined you but
αὑτοῖς βεβοηθηκέναι· ἐὰν δὲ τούτους σώσητε, ἡγήσονται
them to-have-helped if but these(-men) you-save they-will-think
καὶ ὑμᾶς ὁμογνώμονας γεγονέναι τοῖς αὐτοὺς
also you of-one-mind to-have-become with-the(-men) them
προδεδωκόσιν. ὥστ' ἄξιον τούτων ἁπάντων
having-betrayed so-that worthy(-is-it) these(-things) all

ἐνθυμηθέντας ἅμα τοῖς τε φίλοις τοῖς ὑμετέροις
having-considered at-once the both friends the your
ἀποδοῦναι χάριν καὶ παρὰ τῶν ἀδικούντων τὴν δίκην
to-repay gratitude and from the(-men) doing-wrong the penalty
λαβεῖν.
to-exact

LYSIAS

ΚΑΤΑ ΦΙΛΟΚΡΑΤΟΥΣ ΕΠΙΛΟΓΟΣ

Against Philocrates

Ergocles was put to death for embezzling more than thirty talents, yet none of it has been found in the city, and Philocrates, his steward and trierarch, holds it. The men who threatened to accuse Philocrates have been bought off, and three talents deposited for the orators to save Ergocles have been recovered by him. He claims to have been Ergocles' enemy, but no enemy would have volunteered as his trierarch. The jurors must make him give back the public money and punish him with his master.

Ὁ μὲν ἀγὼν οὗτος, ὦ ἄνδρες δικασταί, ἐρημότερος 1
the indeed trial this O men jurors more-deserted
γεγένηται ἢ ἐγὼ προσεδόκων. πολλοὶ γὰρ ἦσαν
has-become than I expected many for were
οἱ ἀπειλοῦντες καὶ οἱ φάσκοντες Φιλοκράτους
the(-men) threatening and the(-men) claiming Philocrates
κατηγορήσειν· ὧν οὐδεὶς νυνὶ φαίνεται. ὃ
to-be-going-to-accuse of-whom none now appears which
κἀμοὶ δοκεῖ οὐδενὸς ἔλαττον εἶναι τεκμήριον τῆς
also-to-me seems than-nothing less to-be proof of-the
ἀπογραφῆς ὅτι ἀληθὴς οὖσα τυγχάνει· εἰ γὰρ
listing that true being it-happens if for
μὴ πολλὰ τῶν Ἐργοκλέους εἶχε χρημάτων, οὐκ
not much of-the of-Ergocles he-had money not
ἂν οὕτως οἷός τ' ἦν ἀπαλλάξαι τοὺς
— so able — he-would-have-been to-get-rid-of the
κατηγόρους.
accusers

Ἐγὼ δέ, ὦ ἄνδρες δικασταί, πάντας ὑμᾶς ἡγοῦμαι εἰδέναι 2
I but O men jurors all you think to-know
ὅτι Ἐργοκλέους διὰ τοῦτο ὑμεῖς θάνατον κατεχειροτονήσατε,
that against-Ergocles for this you death voted(-against)

ὅτι κακῶς διαθεὶς τὰ τῆς πόλεως πλεῖν ἢ
that badly having-managed the(-affairs) of-the city more than
τριάκοντα ταλάντων οὐσίαν ἐκτήσατο. καὶ τούτων τῶν
thirty talents property he-acquired and of-these the
χρημάτων οὐδὲν ἐν τῇ πόλει φαίνεται. καίτοι ποῖ χρὴ
money none in the city appears and-yet where must-one
τραπέσθαι ἢ ποῦ ζητῆσαι τὰ χρήματα; εἰ γὰρ παρὰ
to-turn or where to-seek the money if for with
τοῖς κηδεσταῖς καὶ οἷς ἐκεῖνος οἰκειότατ' ἀνθρώπων
the in-laws and with-whom he most-intimately of-men
ἐχρῆτο μὴ φανήσεται, χαλεπῶς παρὰ τοῖς ἐχθροῖς
treated not it-will-appear hardly with the enemies
εὑρεθήσεται.
will-it-be-found

3 Τίνα δὲ Ἐργοκλῆς περὶ πλείονος Φιλοκράτους ἐποιεῖτο,
whom and Ergocles of more than-Philocrates made
ἢ πρὸς τίν' ἀνθρώπων διέκειτο οἰκειότερον; οὐ τῶν
or toward whom of-men was-disposed more-intimately not from-the
μὲν ὑμετέρων ὁπλιτῶν αὐτὸν ἐξήγαγε, τῶν δ' αὑτοῦ
indeed your hoplites him he-led-out of-the and his-own
χρημάτων ταμίαν ἐποίησε, καὶ τὸ τελευταῖον τριήραρχον
money steward made and the last(-thing) trierarch
αὐτὸν κατέστησε;
him appointed

4 Καίτοι δεινὸν εἰ οἱ μὲν τὰς οὐσίας ἔχοντες
and-yet terrible(-is-it) if the(-men) indeed the properties having
ὀλοφύρονται τριηραρχοῦντες, οὗτος δὲ οὐδὲν πρότερον
lament serving-as-trierarchs this(-man) but nothing before
κεκτημένος ἐν ἐκείνῳ τῷ χρόνῳ ἐθελοντὴς ὑπέστη
having-acquired at that the time as-a-volunteer undertook
ταύτην τὴν λῃτουργίαν. οὐκοῦν δὴ οὐχ ὡς
this the liturgy therefore indeed not as

ζημιωθησόμενον αὐτὸν τριήραρχον κατέστησεν, ἀλλ᾽
going-to-be-penalized him trierarch he-appointed but
ὡς ὠφεληθησόμενον καὶ φυλάξοντα τὰ αὑτοῦ
as going-to-be-benefited and going-to-guard the his-own
χρήματα, οὐκ ἔχων ὅτῳ χρὴ μᾶλλον τούτου
money not having to-whom one-must rather than-this(-man)
πιστεῦσαι.
to-trust
Ἡγοῦμαι δέ, ὦ ἄνδρες δικασταί, Φιλοκράτει δύο εἶναι 5
I-think and O men jurors for-Philocrates two to-be
καὶ μόνας ἀπολογίας, προσήκειν γὰρ αὐτῷ ἀποδεῖξαι
and only defenses to-befit for to-him to-show
ἢ ἑτέρους ἔχοντας τὰ Ἐργοκλέους χρήματα, ἢ
either others having the of-Ergocles money or
ἀδίκως ἀπολωλότα ἐκεῖνον καὶ οὐδὲν ὑφῃρημένον
unjustly having-perished him and nothing having-stolen
τῶν ὑμετέρων οὐδὲ δεδωροδοκηκότα· εἰ δὲ τούτων
of-the your(-goods) nor having-taken-bribes if but of-these
μηδέτερον ποιήσει, δεδόχθαι καταψηφίζεσθαι, καὶ μὴ
neither he-will-do to-have-been-resolved to-condemn(-him) and not
τοῖς μὲν παρὰ τῶν ἄλλων λαμβάνουσιν ὀργίζεσθαι,
with-the(-men) indeed from the others taking to-be-angry
τοῖς δὲ τὰ ὑμέτερ᾽ αὐτῶν ἔχουσι συγγνώμην
with-the(-men) but the(-goods) your- -own having pardon
ἔχειν.
to-have
Τίς δ᾽ οὐκ οἶδεν Ἀθηναίων τρία τάλαντα περὶ 6
who and not knows of-Athenians three talents on-behalf-of
Ἐργοκλέους μεσεγγυηθέντα τοῖς λέγουσιν, εἰ δύναιντο
Ergocles deposited for-the speakers if they-could
αὐτὸν σῶσαι; οἳ ἐπειδὴ ἑώρων τὴν ὑμετέραν
him to-save who when they-saw the your

ὀργὴν τιμωρεῖσθαι βουλομένων, ἡσυχίαν ἦγον καὶ
anger to-punish wishing quiet kept and
οὐκ ἐτόλμων σφᾶς αὐτοὺς φανεροὺς ποιῆσαι.
not dared them- -selves visible to-make
καὶ τὸ μὲν πρῶτον οὗτος οὐ κομιζόμενος
and the indeed first this(-man) not recovering
παρ᾽ αὐτῶν τὰ χρήματα μηνύσειν ἔφη τῇ
from them the money to-be-going-to-inform he-said to-the
πόλει·
city

7 ἐπειδὴ δὲ καὶ ταῦτα ἀπείληφε καὶ τῶν ἄλλων
when but also these-things he-has-got-back and of-the others
τῶν ἐκείνου κύριος γεγένηται, εἰς τοῦτο τόλμης
the(-goods) of-him master has-become to this of-daring
ἐλήλυθεν, ὥστε μάρτυρας πεπόρισται οἳ μαρτυρήσουσιν
he-has-come that witnesses he-has-provided who will-testify
αὐτῷ ὡς ἦν ἔχθιστος ἁπάντων ἀνθρώπων Ἐργοκλεῖ.
for-him that he-was most-hateful of-all men to-Ergocles
καίτοι οἴεσθ᾽ ἂν αὐτόν, ὦ ἄνδρες δικασταί,
and-yet would-you-think — him O men jurors
εἰς τοῦτο μανίας ἀφικέσθαι, ὥστε Θρασυβούλου
to this of-madness to-have-come that Thrasybulus
στρατηγοῦντος καὶ Ἐργοκλέους αὐτῷ διαφερομένου
being-general and Ergocles with-him being-at-odds
ἐθελοντὴν ὑποστῆναι τριήραρχον; πῶς γὰρ
as-a-volunteer to-undertake(-to-be) trierarch how for
ἂν θᾶττον ἀπώλετο, ἢ πῶς ἂν μᾶλλον
— more-quickly would-he-have-perished or how — more
ἐπηρεάζετο;
would-he-have-been-abused

Περὶ μὲν οὖν τούτων ἱκανὰ τὰ εἰρημένα· ἐγὼ 8
about indeed then these(-things) sufficient the(-things) said I
δ' ὑμᾶς ἀξιῶ ὑμῖν αὐτοῖς βοηθῆσαι καὶ πολὺ
but you think-it-right your- -selves to-help and much
μᾶλλον τοὺς ἀδικοῦντας τιμωρεῖσθαι ἢ τοὺς
rather the(-men) doing-wrong to-punish than the(-men)
τὰ τῆς πόλεως ἔχοντας ἐλεινοὺς ἡγεῖσθαι. οὐδὲν
the(-goods) of-the city having pitiable to-consider nothing
γὰρ τῶν αὐτοῦ καταθήσει, ἀλλὰ τὰ ὑμέτερα ὑμῖν
for of-the his-own will-he-pay-in but the your(-goods) to-your-
αὐτοῖς ἀποδώσει, καὶ πολλῷ πλείω αὐτῷ τούτων
-selves will-give-back and much more for-him than-these(-things)
περιέσται.
will-remain

Καὶ γὰρ ἂν καὶ δεινὸν εἴη, ὦ ἄνδρες δικασταί, εἰ 9
and for — also terrible would-it-be O men jurors if
τοῖς μὲν μὴ δυναμένοις τὰ σφέτερ' αὐτῶν
with-the(-men) indeed not able the their- -own(-means)
εἰσφέρειν ὀργίζοισθε καὶ τὰς οὐσίας αὐτῶν ὡς
to-contribute you-were-angry and the properties of-them as
ἀδικούντων δημεύοιτε, τοὺς δὲ τὰ ὑμέτερα αὐτῶν
doing-wrong you-confiscated the(-men) but the(-goods) your- -own
ἔχοντας μὴ τιμωροῖσθε, ἀλλὰ τῶν τε χρημάτων
having not you-punished but of-the both money
ἀποστεροῖσθε καὶ τούτους χαλεπωτέρους ἐχθροὺς
you-were-deprived and these(-men) harsher enemies
ἔχοιτε.
you-had

Ἕως γὰρ ἂν τὰ ὑμέτερα ἔχοντες σφίσιν αὐτοῖς 10
as-long-as for — the your(-goods) having them- -selves
συνειδῶσιν, οὐδέποτε ὑμῖν παύσονται κακονοοῦντες,
they-are-conscious never with-you will-they-stop being-ill-disposed

νομίζοντες τὰς τῆς πόλεως δυστυχίας μόνας ἀπαλλαγὴν
thinking the of-the city misfortunes alone release
εἶναι τῶν πρὸς αὐτοὺς πραγμάτων.
to-be of-the against them proceedings

11 Ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί, οὐ μόνον περὶ χρημάτων
I-think and O men jurors not only about money
αὐτῷ προσήκειν ἀγωνίζεσθαι, ἀλλὰ καὶ περὶ τοῦ
for-him it-is-fitting to-contend but also about the
σώματος κινδυνεύειν. καὶ γὰρ ἂν καὶ δεινὸν εἴη,
body to-be-in-danger and for — also terrible would-it-be
εἰ οἱ μὲν τὰ τῶν ἰδιωτῶν ἀπολλύμενα
if the(-men) indeed the(-goods) of-the private-persons lost
τοῖς κλέπταις συνειδότες τοῖς αὐτοῖς ἐνέχοιντο,
with-the thieves being-privy to-the same(-penalties) were-liable
οὗτος δὲ τὰ τῆς πόλεως Ἐργοκλεῖ συνειδὼς
this(-man) but the(-goods) of-the city with-Ergocles being-privy
κλέπτοντι καὶ ἐπὶ τοῖς ὑμετέροις δωροδοκοῦντι μὴ
stealing and on the your(-interests) taking-bribes not
τῆς αὐτῆς τιμωρίας τυγχάνοι, ἀλλὰ ἆθλα λάβοι
the same punishment should-meet-with but as-prizes should-receive
τὴν ὑπ' ἐκείνου καταλειφθεῖσαν οὐσίαν ἀντὶ τῆς
the by him left property in-return-for the
αὑτοῦ πονηρίας. ἄξιοι δ' ὑμῖν εἰσιν ὀργῆς, ὦ ἄνδρες
his-own wickedness worthy and to-you they-are of-anger O men
δικασταί.
jurors

12 Οὗτοι γάρ, ὅτε Ἐργοκλῆς ἐκρίνετο, ἐν τῷ δήμῳ
these(-men) for when Ergocles was-being-tried in the assembly
περιιόντες ἔλεγον ὡς πεντακόσιοι μὲν αὐτοῖς εἴησαν
going-around said that five-hundred indeed for-them were
ἐκ τοῦ Πειραιῶς δεδεκασμένοι, ἑξακόσιοι δὲ καὶ
from the Piraeus bribed six-hundred and and

χίλιοι ἐκ τοῦ ἄστεως· μᾶλλον δὲ προσεποιοῦντο
thousand from the town rather but they-pretended
πιστεύειν τοῖς χρήμασιν ἢ δεδιέναι τὰ αὑτῶν
to-trust the money than to-fear the their-own
ἁμαρτήματα.
offenses

Ἐκεῖ μὲν οὖν ἐπεδείξατε αὐτοῖς, ἐὰν δὲ εὖ φρονῆτε, 13
there indeed then you-showed(-it) to-them if but well you-think
καὶ νυνὶ τοῦτο φανερὸν πᾶσιν ἀνθρώποις ποιήσετε,
also now this clear to-all men you-will-make
ὅτι οὐκ ἔστι τοσαῦτα χρήματα ἃ ὑμᾶς, οὓς ἂν
that not there-is so-much money which you whom —
λαμβάνητε ἀδικοῦντας, ἀποτρέψει τιμωρεῖσθαι, καὶ
you-catch doing-wrong will-turn-from to-punish and
μηδεμίαν αὐτοῖς ἄδειαν δώσετε τὰ ὑμέτερα αὐτῶν
no to-them immunity you-will-give the your- -own(-goods)
διαρπάζουσι καὶ κλέπτουσιν. ἐγὼ μὲν οὖν ταῦτα ὑμῖν
plundering and stealing I indeed then these-things to-you
παραινῶ.
advise

Πάντες γὰρ ἐπίστασθε ὅτι Ἐργοκλῆς χρηματιούμενος 14
all for know that Ergocles going-to-make-money
ἀλλ᾽ οὐ πρὸς ὑμᾶς φιλοτιμησόμενος ἐξέπλευσε, καὶ οὐδεὶς
but not toward you going-to-seek-honor sailed-out and no-one
ἄλλος ἔχει τὰ χρήματα ἢ οὗτος. ἐὰν οὖν σωφρονῆτε,
other has the money than this(-man) if then you-are-wise
τὰ ὑμέτερ᾽ αὐτῶν κομιεῖσθε.
the(-goods) your- -own you-will-recover

LYSIAS

ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ ΓΡΑΜΜΑΤΕΩΣ ΕΥΘΥΝΩΝ ΚΑΤΗΓΟΡΙΑ

Against Nicomachus

ἑτέροις μᾶλλον, τοῦτο μὲν οἷς ὑμεῖς ἐναντία
others rather this indeed (those)-with-whom you against(-them)
μαχεσάμενοι διηλλάγητε καὶ ὅρκους ὠμόσατε, τοῦτο δὲ
having-fought were-reconciled and oaths swore this and
οὓς φεύγοντας κατηγάγετε, τοῦτο δὲ οὓς ἀτίμους
(those)-whom exiled you-brought-back this and (those)-whom disfranchised

ὄντας ἐπιτίμους ἐποιήσατε· ὧν εἵνεκα καὶ στήλας ἀνείλετε
being enfranchised you-made of-whom for-the-sake also pillars you-removed
καὶ νόμους ἀκύρους ἐποιήσατε καὶ ψηφίσματα ἐξηλείψατε·
and laws invalid you-made and decrees erased
οἳ νυνὶ μένουσιν ἐν τῇ πόλει πιστεύοντες ὑμῖν, ὦ ἄνδρες.
who now remain in the city trusting you O men
Εἰ οὖν γνώσονται ὑμᾶς ἀποδεχομένους τὰς κατηγορίας 104
if then they-will-know you accepting the accusations
τῶν πρότερον γεγενημένων, τίνα αὐτοὺς οἴεσθε
of-the(-things) before having-happened what them do-you-think
γνώμην ἕξειν περὶ σφῶν αὐτῶν; ἢ τίνα αὐτῶν
opinion to-be-going-to-have about them- -selves or which of-them
ἐθελήσειν εἰς ἀγῶνας καθίστασθαι ἕνεκα τῶν
to-be-going-to-be-willing into trials to-be-brought for-the-sake-of the(-things)
πρότερον γεγενημένων; φανήσονται γὰρ πολλοὶ μὲν ἐχθροὶ
before having-happened will-appear for many indeed enemies
πολλοὶ δὲ συκοφάνται, οἳ καταστήσουσιν αὐτῶν ἕκαστον
many and informers who will-bring of-them each
εἰς ἀγῶνα. ἥκουσι δὲ νυνὶ ἀκροασόμενοι ἀμφότεροι,
into trial have-come and now going-to-listen both(-parties)
οὐ τὴν αὐτὴν γνώμην ἔχοντες ἀλλήλοις, ἀλλ' οἱ 105
not the same opinion having with-one-another but the(-ones)
μὲν εἰσόμενοι εἰ χρὴ πιστεύειν τοῖς νόμοις τοῖς
indeed going-to-learn whether one-must to-trust the laws the
κειμένοις καὶ τοῖς ὅρκοις οὓς ὠμόσατε ἀλλήλοις, οἱ
established and the oaths which you-swore to-one-another the(-others)
δὲ ἀποπειρώμενοι τῆς ὑμετέρας γνώμης, εἰ αὐτοῖς
and testing the your judgment whether for-them
ἐξέσται ἀδεῶς συκοφαντεῖν καὶ γράφεσθαι, τοὺς δὲ
it-will-be-permitted without-fear to-blackmail and to-indict some and
ἐνδεικνύναι, τοὺς δὲ ἀπάγειν. οὕτως οὖν ἔχει, ὦ ἄνδρες· ὁ
to-denounce the(-others) and to-arrest so then it-is O men the

μὲν ἀγὼν ἐν τῷ σώματι τῷ ἐμῷ καθέστηκεν, ἡ δὲ ψῆφος
indeed contest in the body the my has-been-placed the but vote
ἡ ὑμετέρα δημοσίᾳ κρινεῖ, πότερον χρὴ τοῖς νόμοις τοῖς
the your publicly will-decide whether one-must the laws the
ὑμετέροις πιστεύειν, ἢ τοὺς συκοφάντας παρασκευάζεσθαι, ἢ
your to-trust or the informers to-procure or
φεύγειν αὐτοὺς ἐκ τῆς πόλεως καὶ ἀπιέναι ὡς τάχιστα.
to-flee themselves from the city and to-go-away as quickly(-as-possible)
106 Ἵνα δὲ εἰδῆτε, ὦ ἄνδρες, ὅτι τὰ πεποιημένα ὑμῖν
so-that and you-may-know O men that the(-things) done by-you
εἰς ὁμόνοιαν οὐ κακῶς ἔχει, ἀλλὰ τὰ προσήκοντα
for concord not badly stand but the(-things) fitting
καὶ τὰ συμφέροντα ὑμῖν αὐτοῖς ἐποιήσατε, βραχέα
and the(-things) advantageous for-your- -selves you-did briefly
βούλομαι καὶ περὶ τούτων εἰπεῖν. οἱ γὰρ πατέρες οἱ
I-wish also about these(-things) to-speak the for fathers the
ὑμέτεροι γενομένων τῇ πόλει κακῶν μεγάλων, ὅτε οἱ
your having-happened to-the city evils great when the
τύραννοι μὲν εἶχον τὴν πόλιν, ὁ δὲ δῆμος ἔφευγε,
tyrants indeed held the city the but people was-in-exile
νικήσαντες μαχόμενοι τοὺς τυράννους ἐπὶ Παλληνίῳ,
having-defeated fighting the tyrants at Pallenium
στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ καὶ
being-general Leogoras the great-grandfather the my and
Χαρίου οὗ ἐκεῖνος τὴν θυγατέρα εἶχεν, ἐξ ἧς ὁ
Charias whose he the daughter had from whom the
ἡμέτερος ἦν πάππος, κατελθόντες εἰς τὴν πατρίδα τοὺς
our was grandfather having-returned to the fatherland the(-ones)
μὲν ἀπέκτειναν, τῶν δὲ φυγὴν κατέγνωσαν.
indeed they-killed of-the(-others) but exile decreed

Ὕστερον δὲ ἡνίκα βασιλεὺς ἐπεστράτευσεν ἐπὶ τὴν Ἑλλάδα, 107
later and when the-king marched against — Greece
γνόντες τῶν συμφορῶν τῶν ἐπιουσῶν τὸ μέγεθος καὶ
having-recognized of-the disasters the(-ones) coming the greatness and
τὴν παρασκευὴν τὴν βασιλέως, ἔγνωσαν τούς τε φεύγοντας
the preparation the of-the-king they-resolved the both exiles
καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι καὶ κοινὴν
to-receive-back and the disfranchised enfranchised to-make and common
τήν τε σωτηρίαν καὶ τοὺς κινδύνους ποιήσασθαι. πράξαντες
the both safety and the dangers to-make having-done
δὲ ταῦτα, καὶ δόντες ἀλλήλοις πίστεις καὶ ὅρκους
and these-things and having-given to-one-another pledges and oaths
μεγάλους, ἠξίουν σφᾶς αὐτοὺς προτάξαντες πρὸ τῶν
great they-thought-fit them- -selves having-posted-first before the
Ἑλλήνων ἁπάντων ἀπαντῆσαι τοῖς βαρβάροις Μαραθῶνάδε,
Greeks all to-meet the barbarians to-Marathon
νομίσαντες τὴν σφετέραν αὐτῶν ἀρετὴν ἱκανὴν εἶναι τῷ
having-considered the their- -own valor sufficient to-be the
πλήθει τῷ ἐκείνων ἀντιτάξασθαι· μαχεσάμενοί τε ἐνίκων,
multitude the of-them to-be-arrayed-against having-fought both they-won
καὶ τήν τε Ἑλλάδα ἠλευθέρωσαν καὶ τὴν πατρίδα ἔσωσαν.
and — both Greece freed and the fatherland saved
Ἔργον δὲ τοιοῦτον ἐργασάμενοι οὐκ ἠξίωσάν τινι 108
deed and such having-done not they-thought-fit against-any
τῶν πρότερον γενομένων μνησικακῆσαι. τοιγάρτοι
of-the(-things) before having-happened to-bear-grudges therefore
διὰ ταῦτα, τὴν πόλιν ἀνάστατον παραλαβόντες ἱερά
because-of these-things the city uprooted having-taken-over temples
τε κατακεκαυμένα τείχη τε καὶ οἰκίας καταπεπτωκυίας,
both burned-down walls both and houses fallen-down
ἀφορμήν τε οὐδεμίαν ἔχοντες, διὰ τὸ ἀλλήλοις
resource and none having because-of the with-one-another

ὁμονοεῖν τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργάσαντο καὶ
to-be-of-one-mind the empire of-the Greeks achieved and
τὴν πόλιν ὑμῖν τοιαύτην καὶ τοσαύτην παρέδοσαν.
the city to-you such and so-great handed-down

X · THE SUPPLIANT BRANCH

The jurors' fathers, from fewer resources, made Athens great by concord. The accusers say Andocides laid a suppliant branch in the Eleusinium during the Mysteries, a capital offense. In fact Callias laid it: when the herald asked who placed it, no one answered, and Cephalus showed that the stele imposed only a thousand drachmas' fine. Callias did it because Andocides claimed the heiress daughter of his uncle Epilycus, whom Callias wanted for his own son, and Callias offered to drop the prosecution if Andocides gave her up.

109 Ὑμεῖς οὖν καὶ αὐτοὶ ὕστερον, κακῶν οὐκ ἐλαττόνων ἢ
you then also yourselves later evils not less than
ἐκείνοις γεγενημένων, ἀγαθοὶ ἐξ ἀγαθῶν ὄντες ἀπέδοτε
for-them having-happened good from good being rendered
τὴν ὑπάρχουσαν ἀρετήν· ἠξιώσατε γὰρ τούς τε φεύγοντας
the inherited virtue you-thought-fit for the both exiles
καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι. τί οὖν
to-receive-back and the disfranchised enfranchised to-make what then
ὑμῖν ὑπόλοιπόν ἐστι τῆς ἐκείνων ἀρετῆς; μὴ μνησικακῆσαι,
for-you remaining is of-the their virtue not to-bear-grudges
εἰδότας ὦ ἄνδρες ὅτι ἡ πόλις ἐκ πολὺ ἐλάττονος
knowing O men that the city from much less
ἀφορμῆς ἐν τῷ ἔμπροσθεν χρόνῳ μεγάλη καὶ εὐδαίμων
resource in the former time great and prosperous

ἐγένετο· ἃ νῦν αὐτῇ ὑπάρχει, εἰ ἐθέλοιμεν οἱ
became which(-things) now to-it are-present if we-were-willing the
πολῖται σωφρονεῖν τε καὶ ὁμονοεῖν ἀλλήλοις.
citizens to-be-temperate both and to-be-of-one-mind with-one-another
Κατηγόρησαν δέ μου καὶ περὶ τῆς ἱκετηρίας, ὡς 110
they-accused and me also about the suppliant-branch that
καταθείην ἐγὼ ἐν τῷ Ἐλευσινίῳ, νόμος δ' εἴη πάτριος,
placed I in the Eleusinium a-law and was ancestral
ὃς ἂν θῇ ἱκετηρίαν μυστηρίοις, τεθνάναι. καὶ οὕτως
whoever — places a-suppliant-branch at-the-mysteries to-die and so
εἰσὶ τολμηροί, ὥσθ' ἃ αὐτοὶ κατεσκεύασαν, οὐκ
they-are daring that what(-things) themselves contrived not
ἀρκεῖ αὐτοῖς ὅτι οὐ κατέσχον ἃ ἐπεβούλευσαν,
suffices for-them that not they-achieved what(-things) they-plotted
ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιοῦνται ὡς ἀδικοῦντος.
but also accusation of-me they-make as doing-wrong
Ἐπειδὴ γὰρ ἤλθομεν Ἐλευσινόθεν καὶ ἡ ἔνδειξις 111
when for we-came from-Eleusis and the denunciation
ἐγεγένητο, προσήει ὁ βασιλεὺς περὶ τῶν γεγενημένων
had-been-made came-forward the king-archon about the(-things) having-happened
Ἐλευσῖνι κατὰ τὴν τελετήν, ὥσπερ ἔθος ἐστίν, οἱ δὲ
at-Eleusis during the festival as custom is the and
πρυτάνεις προσάξειν ἔφασαν αὐτὸν πρὸς τὴν
prytaneis to-be-going-to-bring-forward said him to the
βουλήν, ἐπαγγεῖλαί τ' ἐκέλευον ἐμοί τε καὶ Κηφισίῳ
council to-announce and bade to-me both and to-Cephisius
παρεῖναι εἰς τὸ Ἐλευσίνιον· ἡ γὰρ βουλὴ ἐκεῖ καθεδεῖσθαι
to-be-present at the Eleusinium the for council there to-be-going-to-sit
ἔμελλε κατὰ τὸν Σόλωνος νόμον, ὃς κελεύει τῇ
was-about according-to the of-Solon law which bids on-the

ὑστεραίᾳ τῶν μυστηρίων ἕδραν ποιεῖν ἐν τῷ Ἐλευσινίῳ.
day-after of-the mysteries a-session to-hold in the Eleusinium
καὶ παρῆμεν κατὰ τὰ προειρημένα.
and we-were-present according-to the(-things) announced
112 Καὶ ἡ βουλὴ ἐπειδὴ ἦν πλήρης, ἀναστὰς Καλλίας
and the council when it-was full having-stood-up Callias
ὁ Ἱππονίκου τὴν σκευὴν ἔχων λέγει ὅτι ἱκετηρία
the(-son) of-Hipponicus the robe wearing says that a-suppliant-branch
κεῖται ἐπὶ τοῦ βωμοῦ, καὶ ἔδειξεν αὐτοῖς. κᾆθ' ὁ
lies on the altar and showed(-it) to-them and-then the
κῆρυξ ἐκήρυττε τίς τὴν ἱκετηρίαν καταθείη, καὶ οὐδεὶς
herald proclaimed who the suppliant-branch had-placed and no-one
ὑπήκουεν. ἡμεῖς δὲ παρέσταμεν, καὶ οὗτος ἡμᾶς ἑώρα.
answered we and stood-by and this(-man) us saw
ἐπειδὴ δὲ οὐδεὶς ὑπήκουεν καὶ ᾤχετο εἰσιὼν ὁ
when but no-one answered and went-off having-gone-in the(-man)
ἐπεξελθὼν Εὐκλῆς οὑτοσί — καί μοι κάλει αὐτόν. Πρῶτα
having-gone-out Eucles this-here and to-me call him first
μὲν οὖν ταῦτα εἰ ἀληθῆ λέγω, μαρτύρησον, Εὔκλεις.
indeed then these-things whether true I-say testify Eucles
ΜΑΡΤΥΡΙΑ.
testimony
113 Ὡς μὲν ἀληθῆ λέγω, μεμαρτύρηται· πολὺ δέ μοι δοκεῖ
that indeed true(-things) I-say it-has-been-testified much but to-me seems
τὸ ἐναντίον εἶναι ἢ οἱ κατήγοροι εἶπον. ἔλεξαν γάρ, εἰ
the opposite to-be than the accusers said they-said for if
μέμνησθε, ὅτι αὐτώ με τὼ θεὼ παραγάγοιεν ὥστε
you-remember that themselves me the two-goddesses led-on so-as
θεῖναι τὴν ἱκετηρίαν μὴ εἰδότα τὸν νόμον, ἵνα δῶ
to-place the suppliant-branch not knowing the law so-that I-might-pay

δίκην. ἐγὼ δέ, ὦ ἄνδρες, εἰ ὡς μάλιστα ἀληθῆ λέγουσιν
penalty I but O men if as most true(-things) say
οἱ κατήγοροι, ὑπ᾽ αὐτοῖν με φημὶ τοῖν θεοῖν σεσῶσθαι.
the accusers by themselves me I-say the two-goddesses to-have-been-saved
Εἰ γὰρ ἔθηκα μὲν τὴν ἱκετηρίαν, ὑπήκουσα δὲ μή, ἄλλο 114
if for I-placed indeed the suppliant-branch answered and not other
τι ἢ αὐτὸς μὲν αὑτὸν ἀπώλλυον τιθεὶς τὴν ἱκετηρίαν,
anything than myself indeed myself I-was-destroying placing the suppliant-branch
ἐσῳζόμην δὲ τῇ τύχῃ διὰ τὸ μὴ ὑπακοῦσαι, δῆλον
I-was-being-saved but by-the luck because-of the not to-answer clear
ὅτι διὰ τὼ θεώ; εἰ γὰρ ἐβουλέσθην με ἀπολλύναι
that because-of the two-goddesses if for had-wished me to-destroy
τὼ θεώ, ἐχρῆν δήπου καὶ μὴ θέντα με τὴν
the two-goddesses it-was-needful surely even not having-placed me the
ἱκετηρίαν ὁμολογῆσαι. ἀλλ᾽ οὔτε ὑπήκουσα οὔτ᾽ ἔθηκα.
suppliant-branch to-confess but neither did-I-answer nor did-I-place(-it)
Ἐπειδὴ δ᾽ ἔλεγε τῇ βουλῇ Εὐκλῆς ὅτι οὐδεὶς ὑπακούοι, 115
when and told the council Eucles that no-one answered
πάλιν ὁ Καλλίας στὰς ἔλεγεν ὅτι εἴη νόμος πάτριος,
again — Callias having-stood said that there-was a-law ancestral
εἴ τις ἱκετηρίαν θείη ἐν τῷ Ἐλευσινίῳ, ἄκριτον
if anyone a-suppliant-branch should-place in the Eleusinium untried
ἀποθανεῖν, καὶ ὁ πατήρ ποτ᾽ αὐτοῦ Ἱππόνικος ἐξηγήσαιτο
to-die and the father once his Hipponicus had-expounded
ταῦτα Ἀθηναίοις, ἀκούσειε δὲ ὅτι ἐγὼ θείην τὴν
these-things to-Athenians he-had-heard and that I had-placed the
ἱκετηρίαν. ἐντεῦθεν ἀναπηδᾷ Κέφαλος οὑτοσὶ καὶ λέγει·
suppliant-branch thereupon jumps-up Cephalus this-here and says
‘Ὦ Καλλία, πάντων ἀνθρώπων ἀνοσιώτατε, πρῶτον μὲν 116
O Callias of-all men most-unholy first indeed
ἐξηγῇ Κηρύκων ὤν, οὐχ ὅσιον ὄν σοι ἐξηγεῖσθαι· ἔπειτα
you-expound of-the-Heralds being not lawful being for-you to-expound then

δὲ νόμον πάτριον λέγεις, ἡ δὲ στήλη παρ᾽ ᾗ ἕστηκας
and law ancestral you-speak-of the but pillar by which you-stand
χιλίας δραχμὰς κελεύει ὀφείλειν, ἐάν τις ἱκετηρίαν
a-thousand drachmas bids to-owe if anyone a-suppliant-branch
θῇ ἐν τῷ Ἐλευσινίῳ. ἔπειτα δὲ τίνος ἤκουσας ὅτι
places in the Eleusinium then and from-whom did-you-hear that
Ἀνδοκίδης θείη τὴν ἱκετηρίαν; κάλεσον αὐτὸν τῇ βουλῇ,
Andocides placed the suppliant-branch call him to-the council
ἵνα καὶ ἡμεῖς ἀκούσωμεν.᾽ ἐπειδὴ δὲ ἀνεγνώσθη ἡ στήλη
so-that also we may-hear when and was-read the pillar
κἀκεῖνος οὐκ εἶχεν εἰπεῖν ὅτου ἤκουσε, καταφανὴς ἦν
and-he not could to-say from-whom he-heard manifest was
τῇ βουλῇ αὐτὸς θεὶς τὴν ἱκετηρίαν.
to-the council himself having-placed the suppliant-branch

117 Φέρε δὴ τοίνυν, ὦ ἄνδρες — τάχα γὰρ ἂν αὐτὸ
come indeed then O men perhaps for — this
βούλοισθε πυθέσθαι—, ὁ δὲ Καλλίας τί βουλόμενος ἐτίθει
you-would-wish to-learn — but Callias what wishing placed
τὴν ἱκετηρίαν; ἐγὼ δὲ ὑμῖν διηγήσομαι ὧν ὑπ᾽ αὐτοῦ
the suppliant-branch I but to-you will-relate of-what by him
εἵνεκα ἐπεβουλεύθην. Ἐπίλυκος ἦν ὁ Τεισάνδρου
for-the-sake I-was-plotted-against Epilycus was the(-son) of-Teisander
θεῖός μοι, ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς· ἀπέθανε δὲ
uncle to-me brother of-the mother the my he-died and
ἐν Σικελίᾳ ἄπαις ἀρρένων παίδων, θυγατέρας δὲ δύο
in Sicily childless of-male children daughters but two
καταλιπών, αἳ ἐγίγνοντο εἴς τε ἐμὲ καὶ Λέαγρον.
having-left who fell-due to both me and Leagrus

118 Τὰ δὲ πράγματα τὰ οἴκοι πονηρῶς εἶχε· τὴν μὲν γὰρ
the and affairs the(-ones) at-home badly stood the indeed for
φανερὰν οὐσίαν οὐδὲ δυοῖν ταλάντοιν κατέλιπε, τὰ
visible property not-even of-two talents he-left the(-sums)

δὲ ὀφειλόμενα πλέον ἦν ἢ πέντε τάλαντα. ὅμως δ'
and owed more were than five talents nevertheless and
ἐγὼ καλέσας Λέαγρον ἐναντίον τῶν φίλων ἔλεγον ὅτι
I having-called Leagrus in-presence-of the friends said that
ταῦτ' εἴη ἀνδρῶν ἀγαθῶν, ἐν τοῖς τοιούτοις δεικνύναι τὰς
this was of-men good in the such(-cases) to-show the
οἰκειότητας ἀλλήλοις.
kinships to-one-another
'Ἡμᾶς γὰρ οὐ δίκαιόν ἐστιν οὔτε χρήματα ἕτερα 119
for-us for not just it-is neither money other
οὔτ' εὐτυχίαν ἀνδρὸς ἑλέσθαι, ὥστε καταφρονῆσαι τῶν
nor fortune of-a-man to-choose so-as to-despise the
Ἐπιλύκου θυγατέρων. καὶ γὰρ εἰ ἔζη Ἐπίλυκος ἢ
of-Epilycus daughters even for if was-living Epilycus or
τεθνεὼς πολλὰ κατέλιπε χρήματα, ἠξιοῦμεν ἂν γένει
having-died much had-left money we-would-claim — by-birth
ὄντες ἐγγυτάτω ἔχειν τὰς παῖδας. τοιγάρτοι ἐκεῖνα μὲν
being nearest to-have the girls therefore those indeed
δι' Ἐπίλυκον ἂν ἦν ἢ διὰ τὰ χρήματα· νῦν
because-of Epilycus — would-have-been or because-of the money now
δὲ διὰ τὴν ἡμετέραν ἀρετὴν τάδε ἔσται. τῆς μὲν
but because-of the our virtue these will-be the(-one) indeed
οὖν σὺ ἐπιδικάζου, τῆς δὲ ἐγώ.'
then you claim the(-other) and I
Ὡμολόγησέ μοι, ὦ ἄνδρες. ἐπεδικασάμεθα ἄμφω κατὰ 120
he-agreed with-me O men we-claimed both according-to
τὴν πρὸς ἡμᾶς ὁμολογίαν. καὶ ἧς μὲν ἐγὼ ἐπεδικασάμην,
the toward us agreement and whom indeed I claimed
ἡ παῖς τύχῃ χρησαμένη καμοῦσα ἀπέθανεν· ἡ δ'
the girl by-fortune having-met having-fallen-ill died the and
ἑτέρα ἔστιν ἔτι. ταύτην Καλλίας ἔπειθε Λέαγρον,
other is still her Callias was-persuading Leagrus

χρήματα ὑπισχνούμενος, ἐᾶν αὐτὸν λαβεῖν· αἰσθόμενος δ'
money promising to-let him to-take(-her) having-perceived and
ἐγὼ εὐθὺς ἔθηκα παράστασιν, καὶ ἔλαχον προτέρῳ μὲν
I at-once put-down a-deposit and brought-suit first indeed
Λεάγρῳ, ὅτι 'εἰ μὲν σὺ βούλει ἐπιδικάζεσθαι, ἔχε
against-Leagrus that if indeed you wish to-claim(-her) have(-her)
τύχῃ ἀγαθῇ, εἰ δὲ μή, ἐγὼ ἐπιδικάσομαι.'
with-fortune good if but not I will-claim(-her)
121 Γνοὺς ταῦτα Καλλίας λαγχάνει τῷ υἱεῖ τῷ ἑαυτοῦ
having-learned these-things Callias files-a-claim for-the son the his-own
τῆς ἐπικλήρου, τῇ δεκάτῃ ἱσταμένου, ἵνα μὴ
for-the heiress on-the tenth of-the-month's-beginning so-that not
ἐπιδικάσωμαι ἐγώ. ταῖς δ' εἰκάσι, μυστηρίοις τούτοις,
I-might-claim(-her) I on-the and twentieth at-the-mysteries these
δοὺς Κηφισίῳ χιλίας δραχμὰς ἐνδείκνυσί με καὶ
having-given to-Cephisius a-thousand drachmas denounces me and
εἰς τὸν ἀγῶνα τοῦτον καθίστησιν. ἐπειδὴ δ' ἑώρα με
into the trial this brings when and he-saw me
ὑπομένοντα, τίθησι τὴν ἱκετηρίαν, ὡς ἐμὲ μὲν ἀποκτενῶν
staying places the suppliant-branch as me indeed going-to-kill
ἄκριτον ἢ ἐξελῶν, αὐτὸς δὲ πείσας Λέαγρον
untried or going-to-drive-out himself but having-persuaded Leagrus
χρήμασι συνοικήσων τῇ Ἐπιλύκου θυγατρί.
with-money going-to-marry the of-Epilycus daughter
122 Ἐπειδὴ δ' οὐδ' ὣς ἄνευ ἀγῶνος ἑώρα ἐσόμενα τὰ
when and not-even so without a-trial he-saw going-to-be the
πράγματα, τότε δὴ προσιὼν Λυσίστρατον, Ἡγημόνα,
affairs then indeed approaching Lysistratus Hegemon
Ἐπιχάρη, ὁρῶν φίλους ὄντας ἐμοὶ καὶ χρωμένους, εἰς
Epichares seeing friends being to-me and intimate to
τοῦτο βδελυρίας ἦλθε καὶ παρανομίας ὥστ' ἔλεγε πρὸς
this of-loathsomeness he-came and of-lawlessness that he-said to

τούτους ὡς εἰ ἔτι καὶ νῦν βουλοίμην ἀποστῆναι τῆς
these(-men) that if still even now I-wished to-withdraw from-the
Ἐπιλύκου θυγατρός, ἕτοιμος εἴη παύσασθαί με κακῶς
of-Epilycus daughter ready he-was to-stop me badly
ποιῶν, ἀπαλλάξαι δὲ Κηφίσιον, δίκην δ' ἐν τοῖς φίλοις
treating to-get-rid-of and Cephisius amends and among the friends
δοῦναί μοι τῶν πεποιημένων.
to-give to-me for-the(-things) done

XI · CALLIAS' HOUSEHOLD

Andocides refused Callias' offer, trusting the jurors. Callias married Ischomachus' daughter, then took in her mother too; the daughter tried to hang herself and fled, and the mother was later driven out too. When she bore a son, Callias swore at the altar it was not his, then later swore it was and enrolled the boy among the Heralds. Hipponicus was said to be raising an evil spirit in his house, and Callias proved it. The accusers, who had proposed Andocides for liturgies and never called him impious, turned on him because he outbid Agyrrhius' ring of tax farmers and saved the city six talents.

Εἶπον αὐτῷ καὶ κατηγορεῖν καὶ παρασκευάζειν ἄλλους· 123
I-told him both to-accuse and to-procure others
εἰ δ' ἐγὼ αὐτὸν ἀποφεύξομαι καὶ γνώσονται Ἀθηναῖοι
if but I him I-will-escape and will-recognize Athenians
περὶ ἐμοῦ τὰ δίκαια, ἐγὼ αὐτὸν οἶμαι περὶ τοῦ σώματος
about me the just(-things) I him I-think about the body
τοῦ ἑαυτοῦ ἐν τῷ μέρει κινδυνεύσειν. ἅπερ αὐτὸν
the his-own in the turn to-be-going-to-be-in-danger which-very him
οὐ ψεύσομαι, ἐὰν ὑμῖν ὦ ἄνδρες δοκῇ. Ὡς δ' ἀληθῆ
not I-will-deceive if to-you O men it-seems-good that and true(-things)
λέγω, κάλει μοι τοὺς μάρτυρας.
I-say call for-me the witnesses

ΜΑΡΤΥΡΕΣ.

witnesses

124 Ἀλλὰ γὰρ τὸν υἱὸν αὐτοῦ τοῦτον, ᾧ λαχεῖν ἠξίωσε
but for the son his this for-whom to-claim he-thought-fit
τῆς Ἐπιλύκου θυγατρός, σκέψασθε πῶς γέγονε καὶ πῶς
the of-Epilycus daughter consider how he-was-born and how
ἐποιήσατ' αὐτόν· ταῦτα γὰρ καὶ ἄξιον ἀκοῦσαι,
he-acknowledged him these-things for also worthy(-is-it) to-hear
ὦ ἄνδρες. γαμεῖ μὲν Ἰσχομάχου θυγατέρα· ταύτῃ δὲ
O men he-marries indeed of-Ischomachus a-daughter with-her and
συνοικήσας οὐδ' ἐνιαυτὸν τὴν μητέρα αὐτῆς ἔλαβε, καὶ
having-lived not-even a-year the mother her he-took and
συνῴκει ὁ πάντων σχετλιώτατος ἀνθρώπων τῇ μητρὶ
lived-with the of-all most-wretched of-men the mother
καὶ τῇ θυγατρί, ἱερεὺς ὢν τῆς μητρὸς καὶ τῆς θυγατρός,
and the daughter priest being of-the mother and of-the daughter
καὶ εἶχεν ἐν τῇ οἰκίᾳ ἀμφοτέρας.
and he-had in the house both

125 Καὶ οὗτος μὲν οὐκ ᾐσχύνθη οὐδ' ἔδεισε τὼ θεώ· ἡ
and this(-man) indeed not was-ashamed nor feared the two-goddesses the
δὲ τοῦ Ἰσχομάχου θυγάτηρ τεθνάναι νομίσασα λυσιτελεῖν
and — of-Ischomachus daughter to-be-dead thinking to-profit
ἢ ζῆν ὁρῶσα τὰ γιγνόμενα, ἀπαγχομένη μεταξὺ
than to-live seeing the(-things) happening hanging-herself midway
κατεκωλύθη, καὶ ἐπειδὴ ἀνεβίω, ἀποδρᾶσα ἐκ τῆς οἰκίας
was-stopped and when she-revived having-run-away from the house
ᾤχετο, καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα. ταύτης
went-off and drove-out the mother the daughter of-her
δ' αὖ διαπεπλησμένος ἐξέβαλε καὶ ταύτην. ἡ δ' ἔφη
but in-turn having-had-his-fill he-cast-out also her she and said

κυεῖν ἐξ αὐτοῦ· καὶ ἐπειδὴ ἔτεκεν υἱόν, ἔξαρνος ἦν
to-be-pregnant by him and when she-bore a-son denying he-was
μὴ εἶναι ἐξ αὐτοῦ τὸ παιδίον.
not to-be from him the child
Λαβόντες δὲ οἱ προσήκοντες τῇ γυναικὶ τὸ παιδίον ἦκον 126
having-taken and the kin to-the woman the child came
ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις, ἔχοντες ἱερεῖον, καὶ ἐκέλευον
to the altar at-the-Apaturia having a-victim and bade
κατάρξασθαι τὸν Καλλίαν. ὁ δ' ἠρώτα τίνος εἴη τὸ
to-begin-the-rite — Callias he and asked whose was the
παιδίον· ἔλεγον 'Καλλίου τοῦ Ἱππονίκου.' 'ἐγώ εἰμι οὗτος.'
child they-said of-Callias the(-son) of-Hipponicus I am he
'καὶ ἔστι γε σὸν τὸ παιδίον.' λαβόμενος τοῦ βωμοῦ
and is at-least yours the child having-grasped the altar
ὤμοσεν ἦ μὴν μὴ εἶναί οἱ υἱὸν ἄλλον μηδὲ γενέσθαι
he-swore truly surely not to-be to-him son other nor to-have-been-born
πώποτε, εἰ μὴ Ἱππόνικον ἐκ τῆς Γλαύκωνος θυγατρός· ἢ
ever if not Hipponicus from the of-Glaucon daughter or
ἐξώλη εἶναι καὶ αὐτὸν καὶ τὴν οἰκίαν, ὥσπερ ἔσται.
utterly-destroyed to-be both himself and the house as-indeed it-will-be
Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ὑστέρῳ πάλιν χρόνῳ 127
after these-things then O men later again in-time
τῆς γραὸς τολμηροτάτης γυναικὸς ἀνηράσθη, καὶ
the old-woman most-shameless woman he-fell-in-love-with-again and
κομίζεται αὐτὴν εἰς τὴν οἰκίαν, καὶ τὸν παῖδα ἤδη μέγαν
brings her into the house and the boy already grown
ὄντα εἰσάγει εἰς Κήρυκας, φάσκων εἶναι υἱὸν αὑτοῦ.
being he-introduces into the-Heralds claiming to-be son his
ἀντεῖπε μὲν Καλλίδης μὴ εἰσδέξασθαι, ἐψηφίσαντο δὲ οἱ
spoke-against(-it) indeed Callides not to-receive(-him) voted but the
Κήρυκες κατὰ τὸν νόμον ὅς ἐστιν αὐτοῖς, τὸν πατέρα
Heralds according-to the law which is for-them the father

ὀμόσαντα εἰσάγειν ἦ μὴν υἱὸν ὄντα ἑαυτοῦ εἰσάγειν.
having-sworn to-introduce(-him) truly surely son being his-own to-introduce
λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν τὸν παῖδα ἑαυτοῦ
having-grasped the altar he-swore truly surely the boy his-own
εἶναι γνήσιον, ἐκ Χρυσιάδος γεγονότα· ὃν ἀπώμοσε.
to-be legitimate from Chrysias born whom he-had-disowned-on-oath
Καί μοι τούτων ἁπάντων τοὺς μάρτυρας κάλει.
and for-me of-these all the witnesses call

ΜΑΡΤΥΡΕΣ.

witnesses

128 Φέρε δὴ τοίνυν, ὦ ἄνδρες, σκεψώμεθα εἰ πώποτε ἐν
come indeed then O men let-us-consider if ever among
τοῖς Ἕλλησι πρᾶγμα τοιοῦτον ἐγένετο, ὅπου γυναῖκά
the Greeks a-thing such happened where a-wife
τις γήμας ἐπέγημε τῇ θυγατρὶ τὴν μητέρα
anyone having-married married-in-addition to-the daughter the mother
καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα· ταύτῃ δὲ συνοικῶν
and drove-out the mother the daughter with-her but living
βούλεται τὴν Ἐπιλύκου θυγατέρα λαβεῖν, ἵν' ἐξελάσῃ
wishes the of-Epilycus daughter to-take so-that she-may-drive-out
τὴν τήθην ἡ θυγατριδῆ. ἀλλὰ γὰρ τῷ παιδὶ αὐτοῦ
the grandmother the granddaughter but for for-the child his
τί χρὴ τοὔνομα θέσθαι;
what must-one the-name to-give

129 Οἶμαι γὰρ ἔγωγε οὐδένα οὕτως ἀγαθὸν εἶναι λογίζεσθαι,
I-think for I-for-my-part no-one so good to-be at-reckoning
ὅστις ἐξευρήσει τοὔνομα αὐτοῦ. τριῶν γὰρ οὐσῶν γυναικῶν
who will-find the-name his three for being women
αἷς συνῳκηκὼς ἔσται ὁ πατὴρ αὐτοῦ, τῆς μὲν
with-whom having-lived will-have the father his of-the(-one) indeed
υἱός ἐστιν, ὥς φησι, τῆς δὲ ἀδελφός, τῆς δὲ
son he-is as he-says of-the(-other) but brother of-the(-third) but

θεῖος. τίς ἂν εἴη οὗτος; Οἰδίπους, ἢ Αἴγισθος; ἢ τί
uncle who — would-be this(-boy) Oedipus or Aegisthus or what
χρὴ αὐτὸν ὀνομάσαι;
must-one him to-name
Ἀλλὰ γάρ, ὦ ἄνδρες, βραχύ τι ὑμᾶς ἀναμνῆσαι περὶ 130
but for O men briefly something you to-remind about
Καλλίου βούλομαι. εἰ γὰρ μέμνησθε, ὅτε ἡ πόλις ἦρχε
Callias I-wish if for you-remember when the city ruled
τῶν Ἑλλήνων καὶ ηὐδαιμόνει μάλιστα, Ἱππόνικος δὲ ἦν
the Greeks and prospered most Hipponicus and was
πλουσιώτατος τῶν Ἑλλήνων, τότε μέντοι πάντες ἴστε ὅτι
richest of-the Greeks then however all know that
παρὰ τοῖς παιδαρίοις τοῖς μικροτάτοις καὶ τοῖς γυναίοις
among the little-children the smallest and the women
κληδὼν ἐν ἁπάσῃ τῇ πόλει κατεῖχεν, ὅτι Ἱππόνικος ἐν τῇ
a-rumor in all the city prevailed that Hipponicus in the
οἰκίᾳ ἀλιτήριον τρέφει, ὃς αὐτοῦ τὴν τράπεζαν ἀνατρέπει.
house an-evil-spirit is-rearing who his the table overturns
μέμνησθε ταῦτα, ὦ ἄνδρες.
you-remember these-things O men
Πῶς οὖν ἡ φήμη ἡ τότε οὖσα δοκεῖ ὑμῖν ἀποβῆναι; 131
how then the rumor the(-one) then current seems to-you to-have-turned-out
οἰόμενος γὰρ Ἱππόνικος υἱὸν τρέφειν ἀλιτήριον αὑτῷ
thinking for Hipponicus a-son to-rear an-evil-spirit for-himself
ἔτρεφεν, ὃς ἀνατέτροφεν ἐκείνου τὸν πλοῦτον, τὴν
he-reared(-one) who has-overturned his the wealth the
σωφροσύνην, τὸν ἄλλον βίον ἅπαντα. οὕτως οὖν χρὴ
temperance the other life all so then one-must
περὶ τούτου γιγνώσκειν, ὡς ὄντος Ἱππονίκου ἀλιτηρίου.
about this(-man) to-judge as being of-Hipponicus an-evil-spirit

132 Ἀλλὰ γάρ, ὦ ἄνδρες, διὰ τί ποτε τοῖς ἐμοὶ
but for O men because-of what ever to-the(-men) me
νυνὶ ἐπιτιθεμένοις μετὰ Καλλίου καὶ συμπαρασκευάσασι
now attacking with Callias and having-helped-prepare
τὸν ἀγῶνα καὶ χρήματα εἰσενεγκοῦσιν ἐπ᾽ ἐμοὶ τρία
the trial and money having-contributed against me three
μὲν ἔτη ἐπιδημῶν καὶ ἥκων ἐκ Κύπρου οὐκ ἀσεβεῖν
indeed years living-at-home and having-come from Cyprus not to-be-impious
ἐδόκουν αὐτοῖς, μυῶν μὲν *** Δελφόν, ἔτι δὲ
I-seemed to-them initiating indeed (lacuna) Delphus further and
ἄλλους ξένους ἐμαυτοῦ, καὶ εἰσιὼν εἰς τὸ Ἐλευσίνιον
other guest-friends my and entering into the Eleusinium
καὶ θύων, ὥσπερ ἐμαυτὸν ἄξιον νομίζω εἶναι· ἀλλὰ
and sacrificing as myself worthy I-think to-be but
τοὐναντίον λῃτουργεῖν οὗτοι προὐβάλλοντο, πρῶτον μὲν
on-the-contrary to-perform-liturgies these(-men) proposed(-me) first indeed
γυμνασίαρχον Ἡφαιστείοις, ἔπειτα ἀρχιθεωρὸν εἰς Ἰσθμὸν
gymnasiarch at-the-Hephaestia then chief-envoy to (the)-Isthmus
καὶ Ὀλυμπίαζε, εἶτα δὲ ταμίαν ἐν πόλει τῶν ἱερῶν
and to-Olympia then and treasurer on the-Acropolis of-the sacred
χρημάτων. νῦν δὲ ἀσεβῶ καὶ ἀδικῶ εἰσιὼν εἰς τὰ ἱερά;
funds now but I-am-impious and do-wrong entering into the sanctuaries
133 Ἐγὼ ὑμῖν ἐρῶ διότι οὗτοι ταῦτα νῦν γιγνώσκουσιν.
I to-you will-tell why these(-men) these-things now judge
Ἀγύρριος γὰρ οὑτοσί, ὁ καλὸς κἀγαθός, ἀρχώνης
Agyrrhius for this-here the fine and-good(-man) chief-tax-farmer
ἐγένετο τῆς πεντηκοστῆς τρίτον ἔτος, καὶ ἐπρίατο τριάκοντα
became of-the two-percent(-tax) third year and bought(-it) for-thirty
ταλάντων, μετέσχον δ᾽ αὐτῷ οὗτοι πάντες οἱ
talents shared and with-him these(-men) all the(-men)
παρασυλλεγέντες ὑπὸ τὴν λεύκην, οὓς ὑμεῖς ἴστε οἷοί
gathered under the white-poplar whom you know what-sort

εἰσιν· οἳ διὰ τοῦτο ἔμοιγε δοκοῦσι συλλεγῆναι ἐκεῖσε,
they-are who because-of this to-me seem to-have-gathered there
ἵν' αὐτοῖς ἀμφότερα ᾖ, καὶ μὴ ὑπερβάλλωσι
so-that for-them both may-be(-possible) and not they-outbid
λαβεῖν ἀργύριον καὶ ὀλίγου πραθείσης μετασχεῖν.
to-take money and cheaply having-been-sold to-share-in(-it)
Κερδάναντες δὲ τρία τάλαντα, γνόντες τὸ πρᾶγμα οἷον 134
having-gained and three talents having-recognized the matter what-sort
εἴη, ὡς πολλοῦ ἄξιον, συνέστησαν πάντες, καὶ μεταδόντες
it-was how much worth they-combined all and having-given-shares
τοῖς ἄλλοις ἐωνοῦντο πάλιν τριάκοντα ταλάντων. ἐπεὶ
to-the others were-buying(-it) again for-thirty talents when
δ' οὐκ ἀντωνεῖτο οὐδείς, παρελθὼν ἐγὼ εἰς τὴν
but not bid-against(-them) anyone coming-forward I to the
βουλὴν ὑπερέβαλλον, ἕως ἐπριάμην ἓξ καὶ τριάκοντα
council I-kept-outbidding(-them) until I-bought(-it) for-six and thirty
ταλάντων. ἀπελάσας δὲ τούτους καὶ καταστήσας ὑμῖν
talents having-driven-off and these(-men) and having-provided for-you
ἐγγυητὰς ἐξέλεξα τὰ χρήματα καὶ κατέβαλον τῇ πόλει
sureties I-collected the money and I-paid(-it) to-the city
καὶ αὐτὸς οὐκ ἐζημιώθην, ἀλλὰ καὶ βραχέα ἀπεκερδαίνομεν
and myself not was-penalized but even a-little we-made-profit
οἱ μετασχόντες· τούτους δ' ἐποίησα τῶν ὑμετέρων
the(-men) having-shared these(-men) but I-made of-the your(-money)
μὴ διανείμασθαι ἓξ τάλαντα ἀργυρίου.
not to-divide six talents of-silver
Ἃ οὗτοι γνόντες ἔδοσαν σφίσιν αὐτοῖς λόγον, 135
which(-things) these(-men) having-recognized gave to-them- -selves word
ὅτι 'ἄνθρωπος οὑτοσὶ οὔτε αὐτὸς λήψεται τῶν κοινῶν
that the-fellow this-here neither himself will-take of-the public
χρημάτων οὔθ' ἡμᾶς ἐάσει, φυλάξει δὲ καὶ ἐμποδὼν
money nor us will-let(-us) will-guard(-it) but and in-the-way

ἔσται διανείμασθαι τὰ κοινά· πρὸς δὲ τούτοις, ὃν
will-be to-divide the public(-money) in-addition and to-these whomever
ἂν ἡμῶν ἀδικοῦντα λάβῃ, εἰσάξει εἰς τὸ πλῆθος τὸ
— of-us doing-wrong he-catches he-will-bring before the majority the
Ἀθηναίων καὶ ἀπολεῖ. δεῖ οὖν τοῦτον ἐκποδὼν
of-Athenians and will-ruin(-him) it-is-necessary then this(-man) out-of-the-way
ἡμῖν εἶναι καὶ δικαίως καὶ ἀδίκως.'
for-us to-be both justly and unjustly

136 Ταῦτα μὲν οὖν, ὦ ἄνδρες δικασταί, τούτοις ποιητέα ἦν,
these-things indeed then O men jurors for-these(-men) to-be-done it-was
ὑμῖν δέ γε τὸ ἐναντίον τούτων· ὡς γὰρ πλείστους εἶναι
for-you but at-least the opposite of-these(-things) as for most to-be
ὑμῖν ἤθελον ἂν τοιούσδε οἵόσπερ ἐγώ, τούτους δὲ μάλιστα
for-you I-would-wish — such as-very I these(-men) but best
μὲν ἀπολωλέναι, εἰ δὲ μή, εἶναι τοὺς μὴ ἐπιτρέψοντας
indeed to-have-perished if but not to-be the(-men) not going-to-allow
αὐτοῖς, οἷς καὶ προσήκει ἀνδράσιν εἶναι καὶ ἀγαθοῖς
them to-whom also it-befits for-men to-be both good
καὶ δικαίοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ βουλόμενοι
and just toward the majority the your and wishing
δυνήσονται εὖ ποιεῖν ὑμᾶς. ἐγὼ οὖν ὑμῖν ὑπισχνοῦμαι ἢ
will-be-able well to-treat you I then to-you promise either
παύσειν τούτους ταῦτα ποιοῦντας καὶ βελτίους παρέξειν, ἢ
to-stop these(-men) these-things doing and better to-render(-them) or
εἰς ὑμᾶς εἰσαγαγὼν κολάσειν τοὺς ἀδικοῦντας αὐτῶν.
before you having-brought(-them) to-punish the(-men) doing-wrong of-them

The accusers say the gods saved Andocides from the dangers of the sea only to have Cephisius destroy him, but gods who thought themselves wronged would have punished him at sea. The jurors have won the praise of the Greeks by choosing concord over revenge and should not change their minds. He asks them to remember his ancestors, who served the city as generals and in office and never asked for thanks; Sparta spared Athens for the virtues of the jurors' ancestors, and his own had a share in those deeds. He has rebuilt his life from poverty, and with him dies his family's line. He calls Anytus, Cephalus, and his tribesmen to speak for him.

Κατηγόρησαν δέ μου καὶ περὶ τῶν ναυκληριῶν καὶ 137
they-accused and me also about the ship-ownings and
περὶ τῆς ἐμπορίας, ὡς ἄρα οἱ θεοὶ διὰ τοῦτό με
about the trading that then the gods because-of this me
ἐκ τῶν κινδύνων σώσαιεν, ἵνα ἐλθὼν δεῦρο, ὡς
from the dangers saved so-that having-come here as
ἔοικεν, ὑπὸ Κηφισίου ἀπολοίμην. ἐγὼ δὲ ὦ Ἀθηναῖοι
it-seems by Cephisius I-might-perish I but O Athenians
οὐκ ἀξιῶ τοὺς θεοὺς τοιαύτην γνώμην ἔχειν, ὥστ'
not think the gods such opinion to-have that
εἰ ἐνόμιζον ὑπ' ἐμοῦ ἀδικεῖσθαι, λαμβάνοντάς με ἐν
if they-thought by me to-be-wronged catching me in
τοῖς μεγίστοις κινδύνοις μὴ τιμωρεῖσθαι. τίς γὰρ
the greatest dangers not to-punish(-me) what for
κίνδυνος μείζων ἀνθρώποις ἢ χειμῶνος ὥρᾳ πλεῖν τὴν
danger greater for-men than of-winter in-season to-sail the
θάλατταν; ἐν οἷς ἔχοντες μὲν τὸ σῶμα τοὐμόν,
sea in which(-dangers) having indeed the body my
κρατοῦντες δὲ τοῦ βίου καὶ τῆς οὐσίας τῆς ἐμῆς, εἶτα
controlling and the life and the property the my then
ἔσῳζον;
they-were-saving(-me)

138 Οὐκ ἐξῆν αὐτοῖς ποιῆσαι μηδὲ ταφῆς τὸ σῶμα
not was-it-possible for-them to-make not-even of-burial the body
ἀξιωθῆναι; ἔτι δὲ πολέμου γενομένου καὶ τριήρων
to-be-deemed-worthy further and war having-happened and triremes
ἀεὶ κατὰ θάλατταν οὐσῶν καὶ λῃστῶν, ὑφ' ὧν
always on sea being and pirates by whom
πολλοὶ ληφθέντες, ἀπολέσαντες τὰ ὄντα, δουλεύοντες
many having-been-caught having-lost the possessions being-slaves
τὸν βίον διετέλεσαν, οὔσης δὲ χώρας βαρβάρου, εἰς
the life spent being and a-country barbarian onto
ἣν πολλοὶ ἤδη ἐκπεσόντες αἰκίαις ταῖς μεγίσταις
which many already having-been-cast-ashore outrages the greatest
περιέπεσον καὶ τὰ σφέτερα αὐτῶν σώματα αἰκισθέντες
fell-into and the their- -own bodies having-been-tortured
ἀπέθανον,
died

139 — εἶτα οἱ μὲν θεοὶ ἐκ τοσούτων κινδύνων ἔσῳζόν
then the indeed gods from so-many dangers were-saving
με, σφῶν δὲ αὐτῶν προὐστήσαντο τιμωρὸν γενέσθαι
me of-them- but -selves they-put-forward avenger to-become
Κηφίσιον τὸν πονηρότατον Ἀθηναίων, ὧν οὗτός
Cephisius the most-wicked of-Athenians of-whom he
φησι πολίτης εἶναι οὐκ ὤν, ᾧ οὐδ' ὑμῶν τῶν
claims citizen to-be not being to-whom not-even of-you the(-men)
καθημένων οὐδεὶς ἂν ἐπιτρέψειεν οὐδὲν τῶν ἰδίων,
sitting no-one — would-entrust any of-the private(-affairs)
εἰδὼς τοῦτον οἷός ἐστιν; ἐγὼ μὲν οὖν, ὦ ἄνδρες,
knowing this(-man) what-sort he-is I indeed then O men
ἡγοῦμαι χρῆναι νομίζειν τοὺς τοιούτους κινδύνους
I-think to-be-necessary to-consider the such dangers
ἀνθρωπίνους, τοὺς δὲ κατὰ θάλατταν θείους. εἴπερ
human the but at sea divine if-indeed

οὖν δεῖ τὰ τῶν θεῶν ὑπονοεῖν, πάνυ ἂν
then it-is-necessary the(-things) of-the gods to-conjecture very —
αὐτοὺς οἶμαι ἐγὼ ὀργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ τοὺς
them I-think I to-be-angry and to-be-indignant if the(-men)
ὑφ' ἑαυτῶν σῳζομένους ὑπ' ἀνθρώπων ἀπολλυμένους
by themselves being-saved by men being-ruined
ὁρῷεν.
they-should-see
Καὶ μὲν δὴ καὶ τάδε ὑμῖν ἄξιον ὦ ἄνδρες 140
and indeed indeed also these(-things) to-you worthy(-is-it) O men
ἐνθυμηθῆναι, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησιν ἄνδρες
to-consider that now to-all the Greeks men
ἄριστοι καὶ εὐβουλότατοι δοκεῖτε γεγενῆσθαι οὐκ ἐπὶ
best and wisest you-seem to-have-become not to
τιμωρίαν τραπόμενοι τῶν γεγενημένων, ἀλλ' ἐπὶ
vengeance having-turned for-the(-things) having-happened but to
σωτηρίαν τῆς πόλεως καὶ ὁμόνοιαν τῶν πολιτῶν.
safety of-the city and concord of-the citizens
συμφοραὶ μὲν γὰρ ἤδη καὶ ἄλλοις πολλοῖς ἐγένοντο
misfortunes indeed for already also to-others many happened
οὐκ ἐλάττους ἢ καὶ ἡμῖν· τὸ δὲ τὰς γενομένας
not less than also to-us the but the having-happened
διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, τοῦτ' εἰκότως
differences with one-another to-settle well this reasonably
ἤδη δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι.
now seems of-men good and temperate work to-be
ἐπειδὴ τοίνυν παρὰ πάντων ὁμολογουμένως ταῦθ'
since then from all admittedly these-things
ὑμῖν ὑπάρχει, καὶ εἴ τις φίλος ὢν τυγχάνει καὶ
to-you belong and if anyone friend being happens and
εἴ τις ἐχθρός, μὴ μεταγνῶτε, μηδὲ βούλεσθε
if anyone enemy do-not change-your-minds nor wish

τὴν πόλιν ἀποστερῆσαι ταύτης τῆς δόξης, μηδὲ
the city to-deprive of-this the glory nor
αὐτοὶ δοκεῖν τύχῃ ταῦτα μᾶλλον ἢ γνώμῃ
yourselves to-seem by-chance these-things rather than by-judgment
ψηφίσασθαι.
to-have-voted

141 Δέομαι οὖν ἁπάντων ὑμῶν περὶ ἐμοῦ τὴν αὐτὴν γνώμην
I-beg then all you about me the same opinion
ἔχειν, ἥνπερ καὶ περὶ τῶν ἐμῶν προγόνων, ἵνα
to-have which-very also about the my ancestors so-that
κἀμοὶ ἐγγένηται ἐκείνους μιμήσασθαι, ἀναμνησθέντας
also-to-me it-may-be-possible them to-imitate having-remembered
αὐτῶν ὅτι ὅμοιοι τοῖς πλείστων καὶ μεγίστων
them that like to-the(-men) of-most and greatest
ἀγαθῶν αἰτίοις τῇ πόλει γεγένηνται, πολλῶν
goods causes for-the city they-have-been of-many
ἕνεκα σφᾶς αὐτοὺς παρέχοντες τοιούτους, μάλιστα
for-the-sake them- -selves showing such most
δὲ τῆς εἰς ὑμᾶς εὐνοίας, εἶτα καὶ ὅπως, εἴ ποτέ
but of-the toward you goodwill then also so-that if ever
τις αὐτοῖς ἢ τῶν ἐξ ἐκείνων τινὶ κίνδυνος
any to-them or of-the(-ones) from them to-anyone danger
γένοιτο ἢ συμφορά, σῴζοιντο συγγνώμης παρ᾽ ὑμῶν
should-befall or misfortune they-might-be-saved pardon from you
τυγχάνοντες.
obtaining

142 Εἰκότως δ᾽ ἂν αὐτῶν μεμνῆσθε· καὶ γὰρ τῇ πόλει
reasonably and — them you-would-remember and for to-the city
ἁπάσῃ αἱ τῶν ὑμετέρων προγόνων ἀρεταὶ πλείστου ἄξιαι
whole the of-the your ancestors virtues of-most worth
ἐγένοντο. ἐπειδὴ γὰρ ὦ ἄνδρες αἱ νῆες διεφθάρησαν,
were when for O men the ships were-destroyed

πολλῶν βουλομένων τὴν πόλιν ἀνηκέστοις συμφοραῖς
many wishing the city in-incurable disasters
περιβαλεῖν, Λακεδαιμόνιοι ἔγνωσαν ὅμως τότε ἐχθροὶ
to-involve Lacedaemonians resolved nevertheless then enemies
ὄντες σώζειν τὴν πόλιν διὰ τὰς ἐκείνων τῶν
being to-save the city because-of the of-those the
ἀνδρῶν ἀρετάς, οἳ ὑπῆρξαν τῆς ἐλευθερίας ἁπάσῃ τῇ
men virtues who began the freedom for-all —
Ἑλλάδι.
Greece
Ἐπειδὴ τοίνυν καὶ ἡ πόλις ἐσώθη δημοσίᾳ διὰ 143
since then also the city was-saved publicly because-of
τὰς τῶν προγόνων τῶν ὑμετέρων ἀρετάς, ἀξιῶ
the of-the ancestors the your virtues I-think-it-right
κἀμοὶ διὰ τὰς τῶν προγόνων τῶν ἐμῶν ἀρετὰς
also-for-me because-of the of-the ancestors the my virtues
σωτηρίαν γενέσθαι. καὶ γὰρ αὐτῶν τῶν ἔργων, δι᾽
safety to-come and for of-the-very the deeds because-of
ἅπερ ἡ πόλις ἐσώθη, οὐκ ἐλάχιστον μέρος οἱ ἐμοὶ
which-very the city was-saved not the-least part the my
πρόγονοι συνεβάλοντο· ὧν ἕνεκα καὶ ἐμοὶ δίκαιον
ancestors contributed of-which for-the-sake also to-me just(-it-is)
ὑμᾶς μεταδοῦναι τῆς σωτηρίας, ἥσπερ καὶ αὐτοὶ παρὰ
you to-give-a-share of-the safety which-very also yourselves from
τῶν Ἑλλήνων ἐτύχετε.
the Greeks obtained
Σκέψασθε τοίνυν καὶ τάδε, ἄν με σώσητε, οἷον 144
consider then also this if me you-save what-sort
ἕξετε πολίτην· ὃς πρῶτον μὲν ἐκ πολλοῦ πλούτου,
you-will-have citizen who first indeed from great wealth
ὅσον ὑμεῖς ἴστε, οὐ δι᾽ ἐμαυτὸν ἀλλὰ διὰ
as-much-as you know not because-of myself but because-of

τὰς τῆς πόλεως συμφορὰς εἰς πενίαν πολλὴν καὶ
the of-the city misfortunes into poverty great and
ἀπορίαν κατέστην, ἔπειτα δὲ καινὸν βίον εἰργασάμην
want I-came then and a-new life I-made
ἐκ τοῦ δικαίου, τῇ γνώμῃ καὶ ταῖν χεροῖν ταῖν
from the just by-the wits and by-the two-hands the
ἐμαυτοῦ· ἔτι δὲ εἰδότα μὲν οἷόν ἐστι πόλεως
my-own further and knowing indeed what-sort-of-thing it-is of-a-city
τοιαύτης πολίτην εἶναι, εἰδότα δὲ οἷόν ἐστι
such a-citizen to-be knowing and what-sort-of-thing it-is
ξένον εἶναι καὶ μέτοικον ἐν τῇ τῶν πλησίον,
a-foreigner to-be and a-resident-alien in the of-the neighbors
ἐπιστάμενον δὲ οἷον τὸ σωφρονεῖν καὶ ὀρθῶς
understanding and what-sort-of-thing the to-be-temperate and rightly
βουλεύεσθαι,
to-deliberate
145 ἐπιστάμενον δ' οἷον τὸ ἁμαρτόντα πρᾶξαι
understanding and what-sort-of-thing the having-erred to-fare
κακῶς, πολλοῖς συγγενόμενος καὶ πλείστων πειραθείς,
badly with-many having-associated and of-most having-had-experience
ἀφ' ὧν ἐμοὶ ξενίαι καὶ φιλότητες πρὸς πολλοὺς
from which for-me guest-friendships and friendships with many
καὶ βασιλέας καὶ πόλεις καὶ ἄλλους ἰδίᾳ ξένους
both kings and cities and others privately guest-friends
γεγένηνται, ὧν ἐμὲ σώσαντες μεθέξετε, καὶ ἔσται
have-come of-which me having-saved you-will-share and it-will-be-possible
ὑμῖν χρῆσθαι τούτοις, ὅπου ἂν ἐν καιρῷ τι ὑμῖν
for-you to-use these wherever — in season anything for-you
γίγνηται.
happens

Ἔχει δὲ καὶ ὑμῖν ὦ ἄνδρες οὕτως· ἐάν με νυνὶ 146
it-is and also for-you O men so if me now
διαφθείρητε, οὐκ ἔστιν ὑμῖν ἔτι λοιπὸς τοῦ γένους τοῦ
you-destroy not is for-you still remaining of-the family the
ἡμετέρου οὐδείς, ἀλλ' οἴχεται πᾶν πρόρριζον. καίτοι οὐκ
our anyone but is-gone all root-and-branch and-yet not
ὄνειδος ὑμῖν ἐστιν ἡ Ἀνδοκίδου καὶ Λεωγόρου οἰκία
a-reproach to-you is the of-Andocides and of-Leogoras house
οὖσα, ἀλλὰ πολὺ μᾶλλον τότ' ἦν ὄνειδος, ὅτ' ἐμοῦ
being but much rather then it-was a-reproach when me
φεύγοντος Κλεοφῶν αὐτὴν ὁ λυροποιὸς ᾤκει. οὐ γὰρ
being-in-exile Cleophon it the lyre-maker inhabited not for
ἔστιν ὅστις πώποτε ὑμῶν παριὼν τὴν οἰκίαν τὴν ἡμετέραν
there-is who ever of-you passing the house the our
ἀνεμνήσθη ἢ ἰδίᾳ τι ἢ δημοσίᾳ κακὸν παθὼν
was-reminded either privately anything or publicly bad having-suffered
ὑπ' ἐκείνων,
from them
οἳ πλείστας μὲν στρατηγήσαντες στρατηγίας πολλὰ 147
who very-many indeed having-held-as-generals commands many
τρόπαια τῶν πολεμίων καὶ κατὰ γῆν καὶ κατὰ
trophies of-the enemies both by land and by
θάλατταν ὑμῖν ἀπέδειξαν, πλείστας δὲ ἄλλας ἀρχὰς
sea for-you displayed very-many and other offices
ἄρξαντες καὶ χρήματα διαχειρίσαντες τὰ ὑμέτερα
having-held and money having-handled the your
οὐδένα πώποτε ὤφλον, οὐδ' ἡμάρτηται οὐδὲν οὔτε
no(-case) ever they-lost nor has-been-erred any either
ἡμῖν εἰς ὑμᾶς οὔτε ὑμῖν εἰς ἡμᾶς, οἰκία δὲ
by-us toward you or by-you toward us house and
πασῶν ἀρχαιοτάτη καὶ κοινοτάτη ἀεὶ τῷ
of-all most-ancient and most-open always to-the(-man)

δεομένῳ. οὐδ' ἔστιν ὅπου ἐκείνων τις τῶν ἀνδρῶν
needing nor is-there where of-those any of-the men
καταστὰς εἰς ἀγῶνα ἀπῄτησεν ὑμᾶς χάριν τούτων τῶν
having-come into a-trial demanded of-you thanks for-these the
ἔργων.
deeds

148 Μὴ τοίνυν, εἰ αὐτοὶ τεθνᾶσι, καὶ περὶ τῶν πεπραγμένων
not then if they have-died also about the(-things) done
αὐτοῖς ἐπιλάθησθε, ἀλλ' ἀναμνησθέντες τῶν ἔργων
by-them forget but having-remembered the deeds
νομίσατε τὰ σώματα αὐτῶν ὁρᾶν αἰτουμένων ἐμὲ παρ'
think the bodies their to-see asking-for me from
ὑμῶν σῶσαι. τίνα γὰρ καὶ ἀναβιβάσομαι δεησόμενον
you to-save whom for also will-I-bring-up to-plead
ὑπὲρ ἐμαυτοῦ; τὸν πατέρα; ἀλλὰ τέθνηκεν. ἀλλὰ τοὺς
for myself the father but he-is-dead but the
ἀδελφούς; ἀλλ' οὐκ εἰσίν. ἀλλὰ τοὺς παῖδας; ἀλλ' οὔπω
brothers but not they-are but the children but not-yet
γεγένηνται.
they-have-been-born

149 Ὑμεῖς τοίνυν καὶ ἀντὶ πατρὸς ἐμοὶ καὶ ἀντὶ ἀδελφῶν
you then both instead-of a-father to-me and instead-of brothers
καὶ ἀντὶ παίδων γένεσθε· εἰς ὑμᾶς καταφεύγω καὶ
and instead-of children become to you I-flee and
ἀντιβολῶ καὶ ἱκετεύω· ὑμεῖς με παρ' ὑμῶν αὐτῶν
entreat and supplicate you me from your- -selves
αἰτησάμενοι σώσατε, καὶ μὴ βούλεσθε Θετταλοὺς καὶ
having-begged save and do-not wish Thessalians and
Ἀνδρίους πολίτας ποιεῖσθαι δι' ἀπορίαν ἀνδρῶν, τοὺς
Andrians citizens to-make because-of shortage of-men the(-ones)
δὲ ὄντας πολίτας ὁμολογουμένως, οἷς προσήκει ἀνδράσιν
and being citizens admittedly to-whom it-befits for-men

ἀγαθοῖς εἶναι καὶ βουλόμενοι δυνήσονται, τούτους δὲ
good to-be and wishing will-be-able these but
ἀπόλλυτε. μὴ δῆτα. ἔπειτα καὶ ταῦθ' ὑμῶν δέομαι,
destroy not indeed then also these-things of-you I-ask
εὖ ποιῶν ὑμᾶς ὑφ' ὑμῶν τιμᾶσθαι. ὥστ' ἐμοὶ μὲν
well treating you by you to-be-honored so-that me indeed
πειθόμενοι οὐκ ἀποστερεῖσθε εἴ τι ἐγὼ δυνήσομαι ὑμᾶς
obeying not you-will-be-deprived if anything I will-be-able you
εὖ ποιεῖν· ἐὰν δὲ τοῖς ἐχθροῖς τοῖς ἐμοῖς πεισθῆτε, οὐδ'
well to-treat if but the enemies the my you-obey not-even
ἂν ὑστέρῳ χρόνῳ ὑμῖν μεταμελήσῃ, οὐδὲν ἔτι πλέον
if later in-time to-you it-repents no longer more
ποιήσετε.
you-will-accomplish
Μὴ τοίνυν μήθ' ὑμᾶς αὐτοὺς τῶν ἀπ' ἐμοῦ ἐλπίδων 150
not then neither your- -selves of-the from me hopes
ἀποστερήσητε μήτ' ἐμὲ τῶν εἰς ὑμᾶς. ἀξιῶ
deprive nor me of-the toward you I-think-it-right
δ' ἔγωγε τούτους οἵτινες ὑμῖν ἀρετῆς ἤδη τῆς
and I-for-my-part these(-men) who to-you of-virtue already the
μεγίστης εἰς τὸ πλῆθος τὸ ὑμέτερον ἔλεγχον ἔδοσαν,
greatest toward the majority the your proof gave
ἀναβάντας ἐνταυθοῖ συμβουλεύειν ὑμῖν ἃ γιγνώσκουσι
having-come-up here to-advise you what they-think
περὶ ἐμοῦ. Δεῦρο Ἄνυτε, Κέφαλε, ἔτι δὲ καὶ οἱ
about me hither Anytus Cephalus further and also the
φυλέται οἱ ῥηρημένοι μοι συνδικεῖν, Θράσυλλος καὶ
tribesmen the(-ones) chosen for-me to-be-advocates Thrasyllus and
οἱ ἄλλοι.
the others
